Digitized by Google

BIBLIOTECA NAZ.
Vittorio Emanuele III
XXXIX
E
66
NAPOLI

Digitized by Google

Digitized by Google

Digitized by Google

THESAURUS
HYMNOLOGICUS

SIVE

HYMNORUM CANTICORUM SEQUENTIARUM CIRCA ANNUM MD USITATARUM COLLECTIO AMPLISSIMA.

CARMINA COLLEGIT, APPARATU CRITICO ORNAVIT, VETERUM INTERPRETUM NOTAS SELECTAS SUASQUE ADIECIT

HERM. ADALBERT. DANIEL,
PHILOS. DR. SOCIETATIS HISTORICO-THEOLOGICAE LIPSIENSIS SODALIS.

BN

TOMUS TERTIUS.

I. DELECTUS CARMINUM ECCLESIAE GRAECAE CURANTE REINHOLDO VORMBAUM.
II. CARMINA SYRIACAE ECCLESIAE CURANTE LUDOVICO SPLIETH. PH. DR.
III. PARALIPOMENA AD TOMUM PRIMUM ET SECUNDUM.

BIBLIOTECA NAZIONALE VITTORIO EMANUELE III
NAPOLI

LIPSIAE
SUMPTIBUS J. T. LOESCHKE.
MDCCCLV.

PRAEFATIO.

Nihil admodum habeo, mi Lector, quod Praefationis loco praemittendum ducam, nisi ut veniam petam si Thesauri mei pomoeria extendisse atque ex prioris consilii angustiis in liberiora spatia eduxisse videar. Etenim cum Latinae ecclesiae Hymnos ecclesiasticos colligendos illustrandosque suscepissem, verebar ne huius seculi ingenium turbulentum, in rixis ac spinis occupatum, suavissimis antiquae ecclesiae carminibus obstreperet: nec cogitabam fore ut et in Romana et in Protestantium ecclesia tam multi coeptis faverent, atque adeo Thesaurum desiderarent auctum et orientalis regionis gemmis et margaritis locupletatum. Non mihi id tribuo; satis enim scio in multis mihimet ipsi me non satis fecisse. Sed apud

Germanos, Anglos, Gallos novum studium exarsit rei hymnologicae, adeo admirandus incredibilisque cursus ad omnem excellentiam factus. Itaque benevole acceperunt copiosam supellectilem, qua expedita via ad sacrae poesis indolem accuratius perspiciendam aperta esse videbatur. Ego vero in hac parte mihi elaborandum esse aequum iudicavi, ut Graecorum Syrorumque carmina sacra in cultu sacro adhibita fautoribus offerrem. Coptas Armenosque eo nomine omittendos puto, quod pauca tantummodo carmina eorum sacra e membranis eruta sunt: quippe quae in privati studii sui gratiam exscripserunt harum litterarum amantes atque periti. Neque cum Graecis quidem Syrisque Musis ipse rationem habere potui ob causas quas omnes commemorare non est necesse; praecipue tamen haec erat, quod animum occupatum habui in chartis, si non doctis tamen laboriosis.

Dum animo distrahebar, cum hoc mihi probabilius tum illud videbatur, adfuit dubitanti Reinholdi Vormbaumi eruditio atque humanitas. Gravis enim et doctus adolescens, a quo optima quaeque exspectari possunt, amore in 'Hymnologiam antiquam inflammatus, cum in Thesauro nostro Graeca carmina desideraret, ipse acerrimo studio lacunam expleverat. Obtulit mihi vir praeclarus Graecorum carminum volumen diligentissime exaratum. Ego ut illud augeret, auctum denuo perlustraret, denique Thesauro nostro libellum adiungeret etiam atque etiam rogabam. Non negavit Vormbaumius quod optaveram nec defuit opti-

mi viri studiis summorum virorum auctoritas atque auxilium. Visum est tamen non omnia exhibere carmina sed in hunc libri modum contrahere, plurimis recisis atque eiectis, potissimum deterioris aetatis, quae traxere iam aliquid sui seculi. Habes nihilominus Delectum amplissimum, Rambachio aliisque multo locupletiorem, quem opus nostrum non mediocriter ornare grata mente confiteor.

Eandem gratiam refero Ludovico Spliethio, Philosophiae Doctori, qui quantam operam dederit litteris orientalibus nuperrime edita Grammatica Persica, Lexico Ferhengi Reschîdî praefixa, comprobavit. Nam peropportune cecidit, quod Vir Doctor ea qua insignis est humanitate pollicebatur mihi et confirmabat, se operam daturum ut delectis praestantissimis Syrorum hymnis, occasionem nanciscerentur lectores ad poetarum Syrorum ingenium atque indolem cognoscendam. Praeter libros typis excusos, qui huc pertinent, aditus patebat Spliethio ad duas membranas adhuc ineditas, e quarum penu non nulla depromsit. Accedit quod licebat confugere ad Roedigerum, praeceptorem atque patronum, cuius doctrinam copiose praedicare supervacaneum est, cum apud omnes suis laudibus celebretur. Multa exquisitiora ex amplissimo librorum apparatu Vir Summus protulit quibus Spliethium humaniter adiuvit.

Num Graecus, num Syrus in suo quisque munere commode versatus, quidque hoc opusculo praestitum sit, ipse iudica. Neque ego potui mihi temperare,

quin minuta quaedam et ut ita dicam πάρεργα huic volumini adiicerem. Vides in Paralipomenis primo loco positum Glossarium Vocum et Phrasium, quae in Lexicis mediae et infimae Latinitatis, etiam in Parisina Du Cangii editione, desiderantur. Facili negotio potest augeri, nam extra dubitationem est, multas huius farinae voces adhuc latere in inferiorum saeculorum liturgiis sermonibus etc. ad hoc usque tempus tineis tantum, blattis muribusque cognitas. In Adnotationum Appendice ad carmina Tomi primi et secundi ex assidua scriptorum ecclesiasticorum lectione ea quae ad propositum scopum facere poterant collegi neque iniucundum erit, quicquid ex Fortlagii, Grieshaberi aliorumque libris excerpsi. Denique ut magis in dies ad pristinam illamque puram faciem revocentur carmina sacra, addita est duorum Codicum Berolinensium scriptura. Etiam hanc debeo Vormbaumio, hic vero Pertzio, Viro Doctissimo, cuius humanitatem non semel expertus est. Ipsam Vormbaumii epistolam iuvat inserere: — Durch die Güte des Hrn. Geh. Regierungsrathes und Oberbibliothekars Dr. Pertz wurde mir die Benutzung zweier Manuscripte der königlichen Bibliothek gestattet, deren Beschreibung sich in Pertz „Archiv der Gesellschaft für ältere deutsche Geschichtskunde“ Band VIII. p. 839. und p. 844. findet. Besonders wichtig für die Kritik einzelner Hymnen ist der ältere dieser Codices (Theol. in 4to. No. 11, apud nos B. 1.), der bei Pertz a. a. O. in das 11te Jahrhundert gesetzt wird. Von griechischen Hymnen findet sich in demselben nur die Doxologie, mit lateinischen Buchstaben geschrieben, ganz aber in der Schreib-

art, welche nach einem Wiener Codex im Thes. Hymol. Tom. II. p. 272. mitgetheilt wird. *) Weniger wichtig ist der in viel späterer Zeit geschriebene zweite Codex (Theol. in 4. N. 265. apud nos B. 2.), der, die Lieder der Prudentius und Sedulius ausgenommen, nur solche Gedichte enthält, deren kirchlicher Gebrauch nicht nachweisbar ist. —

Iam vero tendimus ad metam. Id unum repetendum videtur quod abhinc quinque annis Tomo primo praefati sumus. Faxit Deus ut hoc opus nostrum cedat in usus ecclesiae Christianae, ut rei hymnologicae studium dulcedine sua et suavitate omnium animos perfundat et copiosiores fructus progignat. Inprimis Protestantibus commendamus quod commendat Vetus Agenda Ducatus Pomeraniae anno 1568 edita.: In Steden dar Scholen sint, schölen de Pastores mit vlite dar up seen, dat de olden Christliken, herrliken, Latinischen Gesenge, sunderlik Sequentien unde Responsoria alse in Paschate, Ascensione, Pentecoste, Trinitatis, Purificationis, Annunciationis Mariae, de beata Virgine, de Maria Magdalena, de Decollatione Ioannis, de Apostolis, de Evangelistis, de Martyribus, de rein unde Christlick

*) Paucis aperiam meam de origine et patria codicis sententiam. Commemoratur in carmine: Audi iudex mortuorum p. 286 Adalricus Pater, procul dubio ut patronus vel Ecclesiae Sanctus Titularis. Adalricus autem cum sociis martyrii coronam accepit a Normannis anno 888: nomen eius inscriptum est calendariis Germaniae inferioris et libris Batavorum et Belgarum die XXI. Maii. In his provinciis, ut mihi videtur, Codex scriptus est.

sind, nicht gantz unde gar vorgäten unde vorlaren sunder yarlick gesungen werden up de Festdage, edder yo up de Sondage, vör edder na, wenn sölcke dage im Iare vallen.

Scribebam Halis in Paedagogio Regio
die XVIII. Martii. MDCCCXLVI.

Herm. Adalb. Daniel
PH. DR.

I.

CARMINA ET HYMNI

ECCLESIAE GRAECAE.

COLLEGIT

REINHOLDUS VORMBAUM.

A.

Clemens Alexandrinus.

I.

Ὕμνος τοῦ σωτῆρος Χριστοῦ.

Στομίον πώλων ἀδαῶν,
Πτερὸν ὀρνίθων ἀπλανῶν,
Οἴαξ νηπίων ἀτρεκὴς,
Ποιμὴν ἀρνῶν βασιλικῶν.
Τοὺς σοὺς ἀφελεῖς
Παῖδας ἄγειρον,
Αἰνεῖν ἁγίως,
Ὑμνεῖν ἀδόλως
Ἀκάκοις στόμασιν
Παίδων ἡγήτορα Χριστόν.

Βασιλεῦ ἁγίων,
Λόγε πανδαμάτωρ
Πατρὸς ὑψίστου,
Σοφίας πρύτανι,
Στήριγμα πόνων,
Αἰωνοχαρὲς,
Βροτέας γενεᾶς
Σῶτερ Ιησοῦ,
Ποιμὴν, ἀροτὴρ,
Οἴαξ, στομίον,
Πτερὸν οὐράνιον
Παναργοῦς ποίμνης·
Ἁλιεῦ μερόπων,
Τῶν σωζομένων,
Πελάγους κακίας
Ἰχθῦς ἁγνοὺς
Κύματος ἐχθροῦ
Γλυκερῇ ζωῇ δελεάζων.

Ἡγοῦ, προβάτων
Λογικῶν ποιμήν.
Ἅγιε, ἡγοῦ,
Βασιλεῦ παίδων ἀνεπάφων.
Ἴχνια Χριστοῦ,
Ὁδὸς οὐρανία,
Λόγος ἀέναος,
Αἰὼν ἄπλετος,
Φῶς ἀΐδιον,
Ἐλέους πηγὴ,
Ῥεκτὴρ ἀρετῆς.
Σεμνὴ βιοτὴ
Θεὸν ὑμνούντων, Χριστὲ Ιησοῦ,
Γάλα οὐράνιον,
Μαστῶν γλυκερῶν
Νύμφης χαρίτων,
Σοφίας τῆς σῆς ἐκθλιβόμενον.
Οἱ νηπίαχοι
Ἀταλοῖς στόμασιν
Ἀτιταλλόμενοι

Θηλῆς λογικῆς
Πνεύματι δροσερῷ
Ἐμπιπλάμενοι,
Αἴνους ἀφελεῖς,
Ὕμνους ἀτρεκεῖς,
Βασιλεῖ Χριστῷ,
Μισθοὺς ὁσίους
Ζωῆς διδαχῆς,
Μέλπωμεν ὁμοῦ,
Μέλπωμεν ἁπλῶς,
Παῖδα κρατερόν.
Χορὸς εἰρήνης,
Οἱ χριστόγονοι,
Λαὸς σώφρων,
Ψάλωμεν ὁμοῦ Θεὸν εἰρήνης.

Hic vetustissimus hymnus ecclesiae legitur in calce libri Clementis, qui inscribitur ὁ *Παιδαγωγός*. Secutus sum textum editionis Potterianae. Conf. J. A. Rambach Anthologie christl. Gesänge I. p. 35. Versionem germanicam Muenteri apud Rambach. l. c. habes; alteram praebet C. Fortlage Gesänge christlicher Vorzeit. Berlin 1844 p. 38. „Der Ton des Liedes ist mythisch und gnostisch versinnlichend.“ Fortlage l. c. p. 357.

B.

Hymni *ἀδέσποτοι* saec. III. conscripti.

II.

Ὕμνος ἑωθινός.

Δόξα ἐν ὑψίστοις Θεῷ,
Καὶ ἐπὶ γῆς εἰρήνη,
Ἐν ἀνθρώποις εὐδοκία.
Αἰνοῦμέν σε,
Εὐλογοῦμέν σε,
Προςκυνοῦμέν σε,
Εὐχαριστοῦμέν σοι,
Διὰ τὴν μεγάλην σου δόξαν,
Κύριε βασιλεῦ ἐπουράνιε,
Θεὸς πάτερ παντοκράτωρ,
Κύριε υἱὲ μονογενὲς
Ιησοῦ Χριστὲ,
Καὶ ἅγιον πνεῦμα,
Κύριε ὁ Θεός.
Ὁ ἀμνὸς τοῦ Θεοῦ,
Ὁ υἱὸς τοῦ πατρὸς,
Ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμον,
Προσδέξαι τὴν δέησιν ἡμῶν.
Ὁ καθήμενος ἐν δεξιᾷ τοῦ πατρὸς,
Ἐλέησον ἡμᾶς,
Ὅτι σὺ εἶ μόνος ἅγιος,
Σὺ εἶ μόνος κύριος,
Ιησοῦς Χριστὸς,
Εἰς δόξαν Θεοῦ πατρός.
Ἀμήν.

De hoc „hymno angelico“ conferas, quae Daniel exposuit in Thesauro hymnolog. Tom. II. p. 268 seqq. Versio germanica legitur apud Ramb. Anth. I. p. 44. et C. Fortlage Gesänge etc. p. 18.

III.

Ὕμνος ἑσπερινός.

Φῶς ἱλαρὸν ἁγίας δόξης,
Ἀθανάτου πατρὸς οὐρανίου,
Ἁγίου, μάκαρος,
Ἰησοῦ Χριστέ,
Ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν,
Ἰδόντες φῶς ἑσπερινὸν,
Ὑμνοῦμεν πατέρα καὶ υἱὸν
Καὶ ἅγιον πνεῦμα Θεόν.
Ἄξιόν σε ἐν πᾶσι
Καιροῖς ὑμνεῖσθαι φωναῖς
Ὁσίαις, υἱὲ Θεοῦ,
Ζωὴν ὁ διδοὺς, διὸ
Ὁ κόσμος σε δοξάζει.

Conf. Constitutt. Apostol. VIII, 36. Chr. Pelargi Enchiridion Graeco-Latinum hymnorum, cantionum et precationum, etc. quas christiani graeci hodie recitant. Francofurti 1594. Conf. Rambach Anthologie christl. Ges. I. p. 41. et 44. C. Fortlage l. c. p. 335.

C.

Gregorius Nazianzenus.

IV.

Ὕμνος εἰς Χριστόν.

Σὲ τὸν ἄφθιτον μονάρχην
Δὸς ἀνυμνεῖν, δὸς ἀείδειν,
Τὸν ἄνακτα, τὸν δεσπότην,
Δι' ὃν ὕμνος, δι' ὃν αἶνος,
Δι' ὃν ἀγγέλων χορεῖαι,
Δι' ὃν αἰῶνες ἄπαυστοι,
Δι' ὃν ἥλιος προλάμπει,
Δι' ὃν ὁ δρόμος σελήνης,
Δι' ὃν ἄστρων μέγα κάλλος,
Δι' ὃν ἄνθρωπος ὁ σεμνὸς
Ἔλαχεν νοεῖν τὸ θεῖον,
Λογικὸν ζῶον ὑπάρχων.
Σὺ γὰρ ἔκτισας τὰ πάντα,
Παρέχων τάξιν ἑκάστῳ,
Συνέχων τε τῇ προνοίᾳ.

Λόγον εἶπας, πέλεν ἔργον.
Ὁ λόγος σοῦ, Θεὸς υἱὸς,
Ὁμοούσιος γάρ ἐστιν,
Ὁμότιμος τῷ τεκόντι,
Ὃς ἐφήρμοσεν τὰ πάντα,
Ἵνα πάντων βασιλεύσῃ.
Περιλαμβάνον δὲ πάντα
Ἅγιον πνεῦμα τὸ θεῖον
Προνοούμενον φυλάσσει.
Τριάδα ζῶσαν ἐρῶ σὲ,
Ἕνα καὶ μόνον μονάρχην,
Φύσιν ἄτρεπτον ἄναρχον,
Φύσιν οὐσίας ἀφράστου,
Σοφίας νοῦν ἀνέφικτον,
Κράτος οὐρανῶν ἄπαυστον,
Ἄτερ ἀρχῆς, ἀπέραντον,
Ἀκατασκόπητον αὐγὴν,
Ἐφορῶσαν δὲ τὰ πάντα,
Βάθος οὐδὲν ἀγνοοῦσαν
Ἀπὸ γῆς μέχρις ἀβύσσου.
Πάτερ ἵλεως γενοῦ μοί.
Διὰ παντὸς θεραπεύειν
Τὸ σέβασμα τοῦτο, δός μοι.
Τὰ δ' ἁμαρτήματα ῥύψον,
Τὸ συνειδὸς ἐκκαθαίρων
Ἀπὸ πάσης κακονοίας,
Ἵνα δοξάσω τὸ θεῖον,
Ὁσίας χεῖρας ἐπαίρων,
Ἵνα Χριστὸν εὐλογήσω,
Γόνυ κάμπτων ἱκετεύσω,
Τότε προςλαβεῖν με δοῦλον,
Ὅτ' ἂν ἔλθῃ βασιλεύσων.
Πάτερ ἵλεως γενοῦ μοι,
Ἔλεον καὶ χάριν εὕρω.
Ὅτι δόξα καὶ χάρις σοι
Ἄχρις αἰῶνος ἀμέτρου.

Leguntur carmina Gregorii in Ejusdem operibus Paris. 1611. Tom. II. p. 1 seqq. Conf. Poetae Graeci veteres Tom. II. p. 185 seqq. — v. 36. Alii ἵλεως.

V.

Ὕμνος εἰς Χριστὸν μετὰ τὴν σιωπὴν, ἐν τῷ πάσχα.

Χριστὲ ἄναξ, σὲ πρῶτον ἐπεὶ λόγον ἠέρι δῶκα,
Δηναιὸν κατέχων, φθέγξομ' ἀπὸ στομάτων.
Ἁγνοτάτου ἱερῆος ἁγνὸν θύος, εἰ θέμις εἰπεῖν,
Τόνδε λόγον προχέων ἡμετέροιο νόου,
Πατροφαὲς μεγάλοιο νόου λόγε, φέρτερε μύθου,
Φωτός τ' ἀκροτάτου φῶς ἄκρον, οἰογόνε,
Εἰκὼν ἀθανάτοιο πατρὸς, καὶ σφρηγὶς ἀνάρχου,
Πνεύματι τῷ μεγάλῳ συμφαὲς, εὐρυμέδον
Αἰῶνος πείρημα, μεγακλεὲς, ὀλβιόδωρε,
Ὑψίθρον', οὐράνιε, πανσθενὲς ἄσθμα νόου,
Νωμητὰ κόσμοιο, φερέσβιε, δημιοεργὲ
Ὄντων, ἐσσομένων. Σοὶ γὰρ ἅπαντα πέλει,

Ὅς κόσμοιο θέμεθλα, καὶ ὁππόσα ἐστὶ θέλοντος,
Δησάμενος φορέεις νεύμασιν ἀπλανέως.
Σοὶ μὲν ἄναξ Φαέθων ὑψίδρομος ἄστρα καλύπτει,
Κύκλον ὑπερτέλλων ἔμπυρον, ὡς σὺ νόας,
Σοὶ ζώει, φθινύθει τε ἀμοιβαδὶς ὄμμα τὸ νυκτὸς,
Μήνη πλησιφαὴς αὖθις ἐπερχομένη.
Σοὶ δὲ ζωοφόρος τε κύκλος καὶ μέτρα χορείης,
Ὥραις μέτρα φέρει ἤπια κιρναμέναις.
Ἀπλανέες τε πλάνοι τε παλίμπορον ἀΐσσοντες
Ἀστέρες, ἠγαθέης εἰσὶ λόγος σοφίης.
Σὸν φάος εἰσὶν ἅπαντες, ὅσοι νόες οὐρανίωνες
Μέλπουσι τριάδος δόξαν ἐπουρανίης.
Σὸν βροτὸς αὖ κλέος ἐστὶν, ὃν ἄγγελον ἐνθάδ' ἔθηκας
Ὑμνοπόλον τῆς σῆς, ὦ φάος, ἀγλαΐης.
Ἄμβροτέ μοι, βροτὲ εἴτε, παλιγγενὲς ὕψος ἄσαρκον,
Ὑστάτιον θνητῶν πήμασι σαρκοφόρε,
Σοὶ ζῶ, σοὶ λαλέω, σοὶ δ' ἔμπνοος εἰμὶ θυηλὴ,
Ἡ μούνη κτεάνων λείπετ' ἀφ' ἡμετέρων.
Σοὶ καὶ γλῶσσαν ἔδησα, καὶ οὔασι μῦθον ἔλυσα.
Λίσσομαι, ἀλλὰ πόροις ἀμφότερ' εὐαγέως.
Φθέγξομαι, ἅσσ' ἐπέοικεν· ἃ δ' οὐ θέμις, οὐδὲ νοήσω.
Ῥεύσω μαργάρεον, βόρβορον ὠσάμενος,
Χρυσὸν ἀπὸ ψαμάθοιο, ῥόδον κραναῆς ἀπ' ἀκάνθης,
Λέξομ' ἀπ' ἀσταχύων σῖτον, ἀφεὶς καλάμην.
Ταῦτά σοι ἡμετέροιο θαλύσια, Χριστὲ, πόνοιο
Γλῶσσ' ἀπερευγομένη πρῶτον ἀνῆψεν ἔπος.
Σήμερον ἐκ νεκύων Χριστὸς μέγας οἷσιν ἐμίχθη,
Ἔγρετο, καὶ θανάτου κέντρον ἀπεσκέδασε,
Καὶ ζωφόρους πυλεῶνας ἀμειδήτου ἀΐδαο
Ῥήξατο, καὶ ψυχαῖς δῶκεν ἐλευθερίην.
Σήμερον ἐκ τύμβοιο θορὼν, μερόπεσσι φαάνθη,
Οἷς γένεθ', οἷσι θάνεν, οἷς ἔγρετ' ἐκ νεκύων,
Ὥς κε παλιγγενέες τε. καὶ ἐκ θανάτοιο φυγόντες,
Σοὶ συναειρώμεσθ' ἔνθεν ἀνερχομένῳ.
Σήμερον αἰγλήεις σε μέγας χορὸς ἀμφιγέγηθεν
Ἀγγελικὸς, μέλπων ὕμνον ἐπιστέφιον.
Σήμερον ἦχον ἔπνευσα μεμυκότα χείλεα σιγῇ
Λύσας, ἀλλὰ μ' ἔχεις ὑμνοπόλον κιθάρην.
Νῷ νόον ἔνδον ἔρεξα, λόγῳ λόγον· αὐτὰρ ἔπειτα
Ῥήξω καὶ μεγάλῳ πνεύματι, ἣν ἐθέλῃ.

Vid. Gregorii Opera l. c. p. 131.

VI.

Ἐπιστρεπτικὴ πρὸς Θεὸν νουθεσία.

Πῆ σε φέρων Χριστοῖο τόσον ἀπενόσφισε δαίμων
Κλεπτόμενον γλώσσῃ τε καὶ οὔασι καὶ φαέεσσι
Θυμὲ τάλαν; ποῦ φωτὸς ἐνηέος ἐκτὸς ἐλαύνεις,
Βρασσόμενός τε πόθοισι καὶ ἀργαλέαις μελεδῶσι,
Καὶ σκιόεντα φόβον τρομέων, ἀπάταις τε λιτουργῶν
Τηκόμενος, φθινύθων τε χόλου ζείοντος ἐρωαῖς.
Μηκέτι πλάζεο θυμὲ νόου στροφάλιγξιν ἀήτου.
Μηδὲ τεῆς ζωῆς ἐπιλήθεο σαρκὶ πελάζων,
Σαρκός τε σκοτίοισι καὶ ἀμφαδίοισι κακοῖσιν.
Πάντα κάτω δονέοιτο κακαῖς βιότοιο θυέλλαις.
Πάντα χρόνος πεσσοῖσιν ὁμοῖα τῇδε κυλίνδοι,
Κάλλος, ἐϋκλείην, πλοῦτον, κράτος, ὄλβον ἄπιστον.
Αὐτὰρ ἐγὼ, Χριστοῖο δεδραγμένος οὔποτε λήξω
Ἐλπίδος, ἔστ᾽ ἂν ἴδω τριάδος σέλας εἰς ἓν ἰούσης.
Εὖτε λάχος μεγάλοιο Θεοῦ σάρκεσσι κερασθὲν,
Εἰκὼν ἡ προτέρη μιχθήσεται οὐρανίοισιν.

Vid. l. c. p. 94.]

VII.

Θρηνητικὸν ὑπὲρ τῆς αὐτοῦ ψυχῆς.

Πολλάκις ἱμερόεντα νέη θαλάμοισι προθεῖσα,
Εἰσέτι παρθενικοῖσι νέκυν πόσιν αἰδομένη περ
Ἀρτίγαμος στίλβουσα πικρὴν ἀνεβάλλετ᾽ ἀοιδήν.
Αἱ δέ νυ οἱ δμωαὶ καὶ ὁμήλικες ἔνθα καὶ ἔνθα
Ἱστάμεναι γοάουσιν ἀμοιβαδὶς, ἄλκαρ ἀνίης.
Καὶ μήτηρ φίλον υἷα νεόχνοον οὐκέτ᾽ ἐόντα
Μύρετ᾽, ἐπ᾽ ὠδίνεσσι νέας ὠδῖνας ἔχουσα.
Καί τις ἑὴν πάτρην ὀλοφύρεται, ἣν διέπερσε
Θοῦρος ἄρης· δόμον ἄλλος, ὃν ὤλεσεν οὐρανίη φλόξ.
Ψυχὴ, σοὶ δὲ γόος τίς ἐπάξιος; ἣν κατέπεφνεν
Οὖλος ὄφις, πικρὸν δ᾽ ἐνομόρξατο εἰκόνι λοιγόν.
Δάκρυε δάκρυ᾽ ἀλιτρὲ, τό σοι μόνον ἐστὶν ὄνειαρ.
Λείψωμεν θαλίας τε ὁμηλικίην τ᾽ ἐρατεινήν.
Λείψω δ᾽ αὖ μύθων τε μέγα κλέος, εὐγενέος τε
Αἵματος, ὑψορόφους τε δόμους καὶ ὄλβον ἅπαντα.
Λείψω δ᾽ ἠελίου γλυκερὸν φάος, οὐρανὸν αὐτὸν,

Τείρεα παμφανόωντα, τά τ' οὐρανὸς ἐστεφάνωται.
Ταῦτα μὲν ἑψομένοισιν, ἐγὼ δ' ὑπένερθε καρήνου
Δεσμὰ φέρων, νεκρός τε καὶ ἄπνοος ἐν λεχέεσσι
Κείσομαι, ὑστατίοισι γόοις γοόωντας ἰαίνων,
Αἶνον ἔχων καὶ φίλτρον ἀδήριτον οὐκ ἐπὶ δηρόν.
Αὐτὰρ ἔπειτα λίθος τε καὶ ἄμβροτος ἔνδοθι λώβη.
Ἀλλὰ καὶ ὥς τούτων μὲν ἐμὸν κέαρ οὐκ ἀλεγίζει.
Μούνην δὲ τρομέω καθαρὴν πλάστιγγα Θεοῖο.
Ὤμοι ἐγὼ, τί πάθω, πῶς κεν κακότητα φύγοιμι
Βένθεσιν ἢ νεφέεσσι λαθὼν βίον; αἴθε γὰρ ἦεν
Ἀμπλακίης τις χῶρος ἐλεύθερος, ὥς τινα θηρῶν
Καὶ νούσων ἐνέπουσιν, ὅπως φυγὰς ἔνθεν ἵκωμαι.
Χέρσῳ μέν τις ἄλυξε πικρὴν ἅλα, ἀσπίδι δ' ἔγχος,
Καὶ κρυεροῦ νιφετοῖο δόμος σκέπας, ἡ κακίη δὲ
Ἀμφίθετος, πολύχωρος, ἀφυκτοτάτη βασίλεια.
Ἡλίας πυρόεντι πρὸς οὐρανὸν ἤλυθε δίφρῳ.
Μωσῆς παιδοφόνου πόθ' ὑπέκφυγε δόγμα τυράννου,
Κητείων λαγόνων σκότιον μόρον ἁγνὸς Ἰωνᾶς,
Καὶ θῆρας Δανιὴλ, παῖδες φλόγας, αὐτὰρ ἔμοιγε
Τίς λύσις κακότητος; ἄναξ σύ με, Χριστὲ, σάωσον.

Conf. l. c. p. 96.

VIII.

Μετανοητικὸν καὶ παρακλητικόν.

Ἔγγυς ἀγὼν βιότοιο, κακὸν πλόον ἐξεπέρησα.
Ἤδη καὶ στυγερῆς τίσιν ὁρῶ κακίης,
Τάρταρον ἠερόεντα, πυρὸς φλόγα, νύκτα βαθεῖαν,
Τῶν νῦν κρυπτομένων αἶσχος ἐλεγχομένων.
Ἀλλὰ, μάκαρ, ἐλέαιρε καὶ ὀψέ περ ἐσθλὸν ὀπάζοις,
Ζωῆς ἡμετέρης λείψανον εὐμενέων.
Πολλὰ πάθον, καὶ τάρβος ἔχω φρενὶ, μή με διώκειν
Τῆς σῆς ἤρξατ' ἄναξ αἰνὰ τάλαντα δίκης.
Οἴσω μὲν τὸν ἐμὸν καὐτὸς μόρον, ἔνθεν ὁδεύσας,
Εἴξας προφρονέως πήμασι θυμοβόροις.
Ὑμῖν δ' ἐσσομένοις ἐπιτέλλομαι, οὐδὲν ὄνειαρ
Τοῦδε βίου ζωὴ λύσιν ἔχει βιότου.

Vid. l. c. p. 98.

IX.

Περὶ τῆς τοῦ βίου ματαιότητος καὶ ἀπιστίας καὶ κοινοῦ πάντων τέλους.

Ἤθελον ἠὲ πέλεια τανύπτερος, ἠὲ χελιδὼν
Ἔμμεναι, ὥς κε φύγοιμι βροτῶν βίον, ἤ τιν᾽ ἔρημον
Ναιετάειν θήρεσσιν ὁμέστιος, (οἳ γὰρ ἔασι
Πιστότεροι μερόπων), καὶ ἠμάτιον βίον ἕλκειν,
Νηπενθῆ, νήποινον, ἀκηδέα, ἓν τόδ᾽ ἄθηρον
Μοῦνον ἔχειν, θεότητος ἴδριν νόον, οὐρανοφοίτην,
Ὥς κε γαληνιόωντα βίῳ φάος αἰὲν ἄγειρον,
Ἤ τινος ἠερίης σκοπιῆς καθύπερθεν ἀερθεὶς,
Βρονταῖον πάντεσσιν ἐπιχθονίοισιν ἀΰσω.

Ἄνθρωποι θνητοὶ, ῥοιῆς γένος, οὐδὲν ἐόντες,
Οἳ θανάτῳ ζώοντες, ἐτώσια φυσιόωμεν,
Μέχρι τίνος ψεύστῃσι καὶ ἠματίοισιν ὀνείροις
Παιζόμενοι, παίζοντες, ἐπὶ χθονὶ μὰψ ἀλάλησθε;
Ἄθρει δὴ πραπίδεσσι τεαῖς ἐπὶ πάντας ὁδεύων,
Ὡς καὶ ἐγὼ, δὴ γάρ με Θεὸς μέγαν ἴδριν ἔθηκεν
Ἐσθλῶν τε στυγερῶν τε, νόος δ᾽ ἐπὶ πάντα φορεῖται.
Οὗτος ἔην θαλερός τε καὶ ἄλκιμος, εὖχος ἑταίρων,
Ὑψιβιβὰς, μελέεσσιν ἐριζώοισι τεθηλώς.
Οὗτος κάλλιμος ἦεν ἑωσφόρος, ὄμματα πάντων
Ἕλκων, εἴαρος ἄνθος ἐν ἀνδράσιν, οὗτος ἀγῶσι
Κύδιμος, ἔντεσιν οὗτος ἀρήϊος, οὗτος ἄριστος
Θηροφόνων σταδίοισι καὶ οὔρεσι κάρτος ἐγείρων.
Οὗτος δ᾽ αὖ θαλίῃσι καὶ εἰλαπίνῃσι μεμηλὼς,
Γαίῃ καὶ πελάγεσσι καὶ ἠέρι γαστέρα φέρβων,
Νῦν ῥικνὸς καὶ ἄναλκις, ἀπήντησεν γὰρ ἅπαντα.
Γῆρας ἔβη, τὸ δὲ κάλλος ἀπέπτατο, νεκρὰ τὰ γαστρὸς,
Βαιὸν ἔτ᾽ ἐν μερόπεσσι, τὸ δὲ πλέον, εἰν ἀΐδαο.
Οὗτος δ᾽ αὖ μύθοις πνείων μέγα παντοδαποῖσιν,
Οὗτος δ᾽ εὐγενέτης τύμβοις φρονέων μεγάλοισιν
Ἢ δέλτοις ὀλίγῃσι νεόγραφον αἷμα λελογχώς.
Οὗτος καρτερόμητις, ἐνὶ πτολίεσσι μέγιστος,
Πανδήμοις στομάτεσσι βοώμενος. Οὗτος ἄμετρον
Πλοῦτον, τὸν μὲν ἔχων, τὸν δὲ φρεσὶν ἔνδον ἀέξων.
Οὗτος δ᾽ ὑψιθρόνοιο δίκης πλάστιγξι γέγηθεν.
Οὗτος δ᾽ αἱματόεντι ῥάκει, δεσμῷ τε καρήνου
Γαίης κάρτος ἔχων, καὶ οὐρανὸν αὐτὸν ἀτίζει,
Θνητὸς, ἐν οὐ θνητῇσι μετήορος ἐλπωρῇσι.
Νῦν τάδε μικρὸν ἔπειτα κόνις καὶ πάντες ὁμοῖοι,

Δμῶες, σκηπτοφόροι, θῆτες, πλούτῳ κομόωντες.
Εἷς ζόφος, εἷς δὲ δόμος, τόσσον πλέον ὀφρυόεσσιν,
Ὅσσον κλεινοτέροιο γόου, τύμβου τετυχῆσαι,
Οὔνομά τ᾽ ἐν λάεσσι λιπεῖν ἐπικήδειον οἰκτροῖς.
Ὀψὲ μὲν, ἔμπα δὲ πᾶσιν ἴσον θνητοῖσι τάλαντον.
Ὀστέα πάντες ἀφαυρὰ, σεσηρότα, γυμνὰ κάρηνα.
Λῆξε τύφος, πενίην δὲ μόγος λίπε, νοῦσος ἄϊστος,
Ἔχθος, ἀτασθαλίη, πλεόνων πόθος, ὕβρις ἀτειρής.
Πάντ᾽ ἔθανε φθιμένοισιν ὁμοῦ, καὶ πάντα μέμυκεν,
Ἄχρις ἂν ἐγρομένοισι συνέμπορα ἔνθεν ἵκηται.
Ταῦτ᾽ οὖν εἰσορόωντες, ἐμοῖς πείθεσθ᾽ ἐπέεσσι
Παῖδες ἐμοὶ, παῖδες γὰρ, ὅσον πλέον εἴρυσα πνεῦμα.
Δεῦρ᾽ ἄγε κόσμον ἅπαντα καὶ ὁππόσα τῷδ᾽ ἀλάληται,
Ῥίψαντες κακότητας ἐπιχθονίου βασιλῆος,
Ἅρπαγος ἀλλοτρίων, δηλήμονος, ἀνδροφόνοιο,
Πλοῦτον, ἐϋκλείην, θώκους, γένος, ὄλβον ἄπιστον,
Προτροπάδην φεύγωμεν ἐς οὐρανὸν, ἧχί τε πολλὰ
Κάλλεα μαρμαίροντα φάος περὶ τρισσὸν ἄφραστον.
Οἱ δ᾽ ἄλλοι πεσσοῖσιν ἐοικότες ἔνθα καὶ ἔνθα
Πίπτοιεν, πεσσῶν τε κυλίσμασι τέρψιν ἔχοιεν,
Ἢ δνοφερὴν σκοτόμαιναν ἑοῖς ἐπικείμενοι ὄσσοις.
Τοίχους ἀμφαφόωντες, ἐπ᾽ ἀλλήλοισιν ἴοικεν.

Vid. l. c. p. 75.

X.

Πρὸς ἑαυτόν.

Ποῦ δὲ λόγοι πτερόεντες; εἰς ἠέρα. Ποῦ νεότητος
Ἄνθος ἐμῆς; διόλωλε. Τὸ δὲ κλέος; ᾤχετ᾽ ἄϊστον.
Ποῦ σθένος εὐπαγέων μελέων; κατα νοῦσος ἔκαμψε.
Ποῦ κτῆσις καὶ πλοῦτος; ἔχει Θεὸς, ἄλλα δ᾽ ἀλιτρῶν
Ἁρπαλέαις παλάμῃσι πόρε φθόνος· οἱ δὲ τοκῆες,
Ἠδὲ κασιγνήτων ἱερὴ δυάς; ἐς τάφον ἦλθον.
Μούνη μοι πάτρη περιλείπετο, ἀλλ᾽ ἄρα καὶ τῇ
Ὄρσας οἶδμα κελαινὸν ὁ βάσκανος ἤλασε δαίμων.
Καὶ νῦν ξεῖνος ἔρημος ἐπ᾽ ἀλλοτρίης ἀλάλημαι
Ἕλκων ζωήν τε λυπρὴν καὶ γῆρας ἀφαυρόν.
Ἄθρονος, ἀπτολίεθρος, ἄπαις, τεκέεσσι μεμηλὼς,
Ζώων ἦμαρ ἐπ᾽ ἦμαρ ἀειπλανέεσσι πόδεσσι.
Ποῖ ῥίψω τόδε σῶμα; τί μοι τέλος ἀντιβολήσει;
Τίς γῆ; τίς δὲ τάφος με φιλόξενος ἀμφικαλύψει;

Τίς δ' ὕσσοις μινύθουσιν ἐμοῖς ἐπὶ δάκτυλα θήσει;
Ἠ ῥά τις εὐσεβέων Χριστοῦ φίλος; ἦ ῥα κάκιστος;
Ταῦτα μὲν αὖρα φέροι, τυτθῆς φρενὸς ἤδε μεληδών.
Εἴ τε τάφῳ δώσει τίς ἐμὸν δέμας; ἄπνοον ἄχθος.
Εἴ τε καὶ ἀκτερέϊστον ἕλωρ θήρεσσι γένοιτο;
Θήρεσιν ἠὲ κύνεσσιν ἑλώριον ἢ πετεηνοῖς.
Εἰ δ' ἐθέλεις, περίκαυστον ἐς ἠέρα χείρεσι πάσσοις,
Ἠὲ κατὰ σκοπέλων μεγάλων ῥίψειας ἄτυμβον,
Ἢ ποταμοῖσι πύθοιτο καὶ ὑετίῃσι ῥοῇσιν.
Οὐ γὰρ ἄϊστος ἐγὼ μόνος ἔσσομαι, οὐδ' ἀσύνακτος,
Ὡς ὄφελον, πολλοῖς τόδε λώϊον, ἀλλ' ἅμα πάντας
Ὕστατον ἦμαρ ἄγει περάτων ἄπο νεύμασι θείοις,
Εἴ που καὶ σποδιή τις, ὀλωλότα θ' ἄψεα νούσῳ.
Ἐν δὲ τόδ' αἰάζω καὶ δείδια βῆμα Θεοῖο,
Καὶ ποταμοὺς πυρόεντας, ἀφεγγέα τ' αἰνὰ βέρεθρα.
Χριστὲ ἄναξ, σὺ δέ μοι πάτρη, σθένος, ὄλβος, ἅπαντα,
Σοὶ δ' ἄρ' ἀναψύξαιμι βίον καὶ κήδε' ἀμείψας.

Vid. l. c. p. 77.

XI.

Ὕμνος εἰς Θεόν.

Ὦ πάντων ἐπέκεινα· τί γὰρ θέμις ἄλλο σε μέλπειν;
Πῶς λόγος ὑμνήσει σε; σὺ γὰρ λόγῳ οὐδενὶ ῥητόν.
Πῶς νόος ἀθρήσει σε; σὺ γὰρ νόῳ οὐδενὶ ληπτός.
Μοῦνος ἐὼν ἄφραστος· ἐπεὶ τέκες, ὅσσα λαλεῖται.
Μοῦνος ἐὼν ἄγνωστος· ἐπεὶ τέκες, ὅσσα νοεῖται.
Πάντα σε καὶ νοέοντα καὶ οὐ νοέοντα γεραίρει.
Ξυνοὶ γάρ τε πόθοι· ξυναὶ δ' ὠδῖνες ἁπάντων
Ἀμφί σε, σοὶ δὲ τὰ πάντα προσεύχεται· εἰς σὲ δὲ πάντα
Σύνθεμα σὸν νοέοντα λαλεῖ σιγώμενον ὕμνον
Σοὶ ἔνι πάντα μένει· σὺ δ' ἀθρόα πάντα θεάζει
Καὶ πάντων τέλος ἐσσὶ, καὶ εἷς καὶ πάντα, καὶ οὐδεὶς
Οὐχ ἓν ἐὼν, οὐ πάντα· πανώνυμε πῶς σε καλέσσω,
Τὸν μόνον ἀκλήϊστον, ὑπερνεφέας δὲ καλύπτρας
Τίς νόος οὐρανίδης εἰσδύσεται· ἵλαος εἴης.
Ω πάντων ἐπένεικα, τί γὰρ θέμις ἄλλο σε μέλπειν;

Vid. l. c. p. 252.

XII.

Ὕμνος πρὸς Χριστόν.

Φεῦ ἡμέρας μοι τῆς κακῆς· ἣν ποῦ φύγω;
Καὶ τίς γένωμαι; ὡς δέος μ᾽ ἀκαρπίας,
Δέος δ᾽ ἀκάνθων, καὶ Γομόῤῥας βοτρύων
Πλήρη φανῆναι· Χριστὸς ἡνίκα κρίνων
Θεὸς θεοῖς δείδωσι τὴν πρὸς ἀξίαν
Χώραν ἑκάστῳ, φωτὸς ὡς ὄψις φέρει.
Ἐλπὶς μία μοι, τὰς βραχείας ἡμέρας
Παλινδρομῆσαι σῇ ποδηγίᾳ, μάκαρ.

Ζῶ καὶ τέθνηκα. Τίς σοφός; συγκρινέτω.
Ψυχῇ τέθνηκα, σὰρξ δέ μοι σθένειν θέλει.
Ψυχὴ βιώη, σὰρξ δέ μοι τεθνηκέτω.

Σκεύαζε σαυτὸν ὡς τάχος πρὸς οὐρανὸν,
Ψυχὴν πτερώσας τῷ λόγῳ τὴν τιμίαν.
Μηδὲν περισσὸν, ἀλλὰ πᾶν ῥίψας βάρος
Βίου ματαίου, καὶ κακῶν τῶν ἐνθάδε.

Πάλιν προςῆλθεν ὁ δράκων, σοῦ δράσσομαι,
Κράτει, κράτει με, μὴ πρόῃ τὴν εἰκόνα·
Μή μ᾽ ὡς καλιᾶς ὄρνιν ἐχθρὸς ἁρπάσῃ.
Φεῦ καὶ κρίσιν δέδοικα καὶ ποθῶ λύσιν.
Διώκομ᾽ ἐνθάδ᾽, οὐκ ἔχω βίου στάσιν.
Καλεῖς μ᾽ ἐκεῖθεν, οὐκ ἔχω παῤῥησίαν.
Σός εἰμι, Χριστὲ, σῶσον, ὡς αὐτὸς θέλεις.

Conf. l. c. p. 252.

XIII.

Ὕμνος ἑσπερινός.

Σὲ καὶ νῦν εὐλογοῦμεν,
Χριστέ μου, λόγε Θεοῦ,
Φῶς ἐκ φωτὸς ἀνάρχου,
Καὶ πνεῦμα ἐξ ἀνάρχου,
Τρίτου φωτὸς εἰς μίαν
Δόξαν ἀθροιζομένου.
Ὃς ἔλυσας τὸ σκότος,
Ὃς ὑπέστησας τὸ φῶς,
Ἵν᾽ ἐν φωτὶ κτίσῃς τὰ πάντα,
Καὶ τὴν ἄστατον ὕλην
Στήσῃς, μορφῶν εἰς κόσμον,
Καὶ τὴν νῦν εὐκοσμίαν.

Ὃς νοῦν ἐφώτισας ἀνθρώπου
Λόγῳ τε καὶ σοφίᾳ,
Λαμπρότητος τῆς ἄνω
Καὶ κάτω θεὶς εἰκόνα,
Ἵνα φωτὶ βλέπῃ τὸ φῶς
Καὶ γένηται φῶς ὅλον.
Σὺ φωστῆρσιν οὐρανὸν
Κατηύγασας ποικίλοις,
Σὺ νύκτα καὶ ἡμέραν
Ἀλλήλαις εἴκειν ἠπίως,
Ἔταξας, νόμον τιμῶν
Ἀδελφότητος καὶ φιλίας,
Καὶ τῇ μὲν ἔπαυσας κόπους
Τῆς πολυμόχθου σαρκὸς,
Τῇδ' ἤγειρας εἰς ἔργον
Καὶ πράξεις τάς σοι φίλας.

Conf. Poetae Graeci veteres Tom. II. p. 189.

XIV.

Ὠδή.

Ἦ πολλὰ πολλὰ γίνεται
Μακρῷ χρόνῳ βροτοῖς.
Τλητὸν ἅπαν, ὅκεν φέρῃ,
Βιὸν στρέφων Θεός·
Ἐγὼ γὰρ ὡς μὲν ἔσχον ἐν
Ξένῃ πόλει πάθας,
Λόγῳ πεσόντι σύμμαχον
Γλῶσσαν φέρων ἐμὴν,
Ἄλλους λέγοντας αἰνέσω.
Πολλοὶ λέγουσι δὲ
Ξένοι φίλοι τε πίστεως
Ἐμοὶ σεβασμίας.
Οὐδὲν γὰρ οὕτως οὔποτε
Ὅλην ἔσεισε γῆν
Ὡς πνεύματος παῤῥησία
Θεοῦ βοωμένου.

Ut supra.

XV.

Ὠδή.

Τί σοι θέλεις γενέσθαι;
Ψυχὴν ἐμὴν ἐρωτῶ.
Τί σοι μέγ' ἢ τί μικρὸν
Τῶν τιμίων βροτοῖσι;
Ζήτει μόνον τι λαμπρὸν,
Καὶ δώσομεν προθύμως.
Θέλεις τὰ Γύγεώ σοι
Τοῦ Λυδίου γενέσθαι;
Καὶ δακτύλῳ τυραννεῖν,
Τὴν σφενδόνην ἑλίσσων,
Κρύπτουσαν, εἰ κρύπτοιτο,
Φαίνουσαν, εἰ φαίνοιτο;
Θέλεις τὰ Μίδεώ σοι
Τοῦ πλουσίως θανόντος;
Ὧι χρυσὸς ἦν τὰ πάντα,
Χρυσοῦν φέροντα λιμὸν,
Εὐχῆς δίκην ὀμέτρου.
Θέλεις λίθους διαυγεῖς,
Πλάτη τε γῆς λιπώσης,
Καὶ ποιμνίων ἀριθμοὺς,
Βοῶν τε καὶ καμήλων;
Οὐ ταῦτα δώσομέν σοι.

Λαβεῖν γὰρ οὐδὲ λῷον·
Ἀλλ' οὔτ' ἔμοιγ' ἀνυστόν.
Ἔῤῥιψα γὰρ μερίμνας,
Ἀφ' οὗ Θεῷ προσῆλθον.
Θέλεις θρόνους τε κ' ἀρχὰς,
Καιροῦ φρύαγμα πίπτον;
Ἵν' αὔριον καθεσθῇς
Κάτω βλέπων ταπεινὸν,
Ἄλλου τραχηλιῶντος,
Ὃς ἦν παραστάτης σοι,
Τυχὸν δὲ καὶ κακῶν τις.
Θέλεις γάμῳ δεθῆναι,
Βλακεύμασιν ἀνάγνοις,
Καιροῖς δὲ συστραφῆναι;
Θέλεις νόσον γλυκεῖαν,
Εὐτεκνίας μέριμναν;
Εὐτεκνίαν δ' ἂν εἴπω
Δυστεκνίαν, τί φήσεις;
Θέλεις λόγοις βοᾶσθαι,
Καὶ συλλέγειν θέατρα;
Ποθεῖς νόμους πιπράσκειν
Οὐκ ἐνδίκοις παλαισμοῖς;
Φέρειν τε καὶ φέρεσθαι
Πρὸ βημάτων ἀθέσμων;
Αἰχμὴν θέλεις τινάσσειν,
Πνέων ἀρήϊόν τι;
Καὶ στέμματ' ἐξ ἀγώνων,
Θηροκτόνον τε κάρτος;
Ποθεῖς κρότους ἐν ἄστει:
Καὶ χάλκεος τυποῦσθαι;
Σκιὰν θέλεις ὀνείρων,
Μεταῤῥέουσαν αὔραν;
Ῥοῖζον βέλους ἀνίχνου;
Ψόφον χερὸς κροτούσης;
Τί γὰρ μέγ' εὖ φρονοῦσι
Τῶν σήμερον μὲν ὄντων,
Ἐς αὔριον δ' ἀπόντων,
Ὧν καὶ κακοῖς μέτεστιν,
Ὧν οὐ συνέρχεταί τι
Ἐντεῦθεν ἐξιοῦσι;
Τί οὖν, ἐπεὶ τάδ' οὐχὶ,
Τί σοι θέλεις γενέσθαι;
Θέλεις Θεὸς γενέσθαι,
Θεὸς Θεοῦ μεγίστου,
Παραστάτης φαεινὸς,
Σὺν ἀγγέλοις χορεύων,
Ἴθι πρόβαινε ταρσοὺς,
Ὀξυπτέρου μενοινῆς
Κυκλουμένη πρὸς ὕψος.
Ἐγὼ πτερὸν καθαίρω,
Ἐγὼ λόγοις ἐπαίρω,
Ὡς εὔπτερόν τιν' ὄρνιν
Ἐς αἰθέρα προπέμψω.
Σὺ δ' εἰπέ μοι, κάκιστον
Ὦ σαρκίον δυσῶδες,
Ἐπεὶ συνεζύγην σοι
Ἡ δεσπότις μαγείρῳ.
Τί σοι θέλεις γενέσθαι,
Πρὸς τὸ πνοὴν κρατεῖσθαι;
Οὐ γὰρ πλέον χρεώστῶ,
Κἂν πολλ' ἔχειν βιάζῃ.
Θέλεις τράπεζαν εὔπνουν
Μύρων τε καὶ μαγείρων
Σοφίσμασιν περισσοῖς;
Καὶ βαρβίτων χερῶν τε
Κροτήματ' οὐκ ἄνοιστρα
Ἀβρῶν κλάσεις τε παίδων
Κινουμένων ἀνάνδρως.
Καὶ παρθένων ἑλιγμοὺς
Γυμνουμένων ἀθέσμως;
Ἃ τοῖς πότοις τυποῦσιν
Ὅσοι φιλοῦσιν ὕβριν,
Τὸν μαινόλην ἑτοίμως
Ὑποφλέγοντες οἶνον.
Ταῦτ' εἰ θέλεις παρ' ἡμῶν,
Ἔχοις μὲν, ἀγχόνην δέ.
Τοιαῦτα τοῖς ἀπλήστοις
Ἐγὼ φίλοις πορίζω.
Οἶκός σε πέτρινός τις
Αὐτώροφος καλύπτοι,
Ἢ μικρὸν ἔργον ὥρας,
Εἰ δεῖ τι καὶ πονῆσαι.
Τὸ δ' ἔσθος ἢ καμήλων
Τρίχες, νόμῳ δικαίων,
Ἢ καὶ δέρος, παλαιᾶς
Γυμνώσεως κάλυμμα.
Στιβὰς μὲν ἡ τυχοῦσα,

Πόαι, κλάδοι τε θάμνων,
Ἄπλωμα πορφυροῦν τι,
Καὶ συμπόταις ἀταρβές.
Τράπεζα δ' αὐτόθεν σοι
Γλυκὺ πνέουσ' ἀνείσθω,
Ἃ γῆ φίλη δίδωσιν
Ἄτεχνα δῶρα πᾶσιν.
Ἐπεὶ δ' ἐθήκαμέν σε,
Καὶ θρέψομεν προθύμως.
Θέλεις φαγεῖν, ἔχ' ἄρτον,
Ἔχ' ἄλφιτ', εἰ παρείη.
Ἅλες δέ σοι τὸ πέμμα,
Θυμὸς θ' ὃν οὐ μετροῦ-
μεν,
Ἀπραγμάτευτον ὄψον.
Ἔνδεια δ' ἄλλο μεῖζον.
Θέλεις πιεῖν; βρύει σοι
Ὕδωρ, κρατὴρ ἀείρους·
Ποτὸν μέθης ἄποιον,
Ἀκλήματον γάνυσμα.
Ζητεῖς δὲ καὶ τρυφᾶν τι;
Μηδ' ὀξίνης φθονείσθω.
Ἀλλ' οὐ τάδ' ἀρκέσει σοι,
Τετρημένῳ ποθεῖς δὲ
Πίθῳ κακῶς ἐπαντλεῖν
Τὰς ἡδονὰς ἀπλήστως;
Ἄλλον πόθει ποριστήν.
Ἐμοὶ γὰρ οὐ σχολή σε
Θάλπειν σύνοικον ἐχθρὸν,
Ἵν' ὡς ὄφις κρυμωθεὶς,
Θέρμῃ δ' ἔπειτα λυθεὶς,
Ἐγκόλπιός με τρώσῃς.
Θέλεις δόμους ἀμέτρους
Χρυσωρόφους, γραφῆς τε
Καὶ ψηφίδος σοφισμοὺς,
Κινουμένων σχεδόν τι;
Πλακός τε λάμψιν ἁβρᾶς
Ἀντίχροον, πολύχροον;
Θέλεις περιῤῥέουσαν
Ἐσθῆτα τῶν ἀθίκτων,
Ἐν δακτύλοις τε πλοῦτον,
Γελώμενόν τε κάλλος
Τοῖς σωφρονεῖν μαθοῦσιν,
Ἐμοὶ δὲ καὶ μάλιστα,
Ὧι κάλλος ἓν τὸ εἴσω;
Τοῖς μὲν κάτω δὴ ταῦτα
Ὑμῖν λέγω βροτοῖσιν,
Οἳ ζῆτε τὸ πρὸς ὥραν,
Μηδὲν πλέον βλέποντες·
Τοῖς δ' εὐγενῶς βιοῦσιν,
Ἐπαξίως τε μοίρας
Τῆς ἐκ Θεοῦ δοθείσης
Τῷ πηλίνῳ πάχει μου,
Σκόπει πένητος ὄγκον,
Οἵαν τροφὴν χορηγῶ.
Δίελθέ μοι φλογώδη
Ῥομφαίαν ὦ θεόφρον.
Θείων γενοῦ γεωργὸς
Φυτῶν, λόγων θαλλόν-
των,
Ὧν μ' ἐστέρησεν ἐχθρὸς,
Δι' ἡδονῆς συλήσας.
Ξύλῳ πάλιν πρόσελθε
Ζωῆς ἀεὶ μενούσης.
Ἥδ' ἐστὶν, ὡς ἀνεῦρον,
Γνῶσις Θεοῦ μεγίστου,
Φάους ἑνὸς τριλαμποῦς,
Πρὸς ὃν τὰ πάντα τείνει.
Οὕτω μὲν αὐτὸς αὐτῷ
Πᾶς τις σοφὸς λαλήσει,
Ὃς δ' οὐ θέλει λαλῆσαι,
Μάτην βίον παρῆλθεν.
Εἴπερ μάτην παρῆλθε,
Μὴ σὺν κακῷ μεγίστῳ.

Vid. Gregorii opera l. c. p. 182 seqq. — Conf. Poetae lyrici Graeci ed. J. F. Boissonade. Paris. 1825. p. 163 seqq.

D.

Euthymius.

XVI.

Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Πῶς μου θρηνήσω τὸν βίον τὸν ῥυπαρὸν,
Καὶ τὰ πλήθη, δέσποινα, τῶν ἀμέτρων μου κακῶν;
Τί δὲ ἐξαγγελῶ σοι, ἁγνή; ἀπορῶ καὶ δειλιῶ,
Ἀλλὰ βοήθει μοι.

Πόθεν ἀπάρξομαι λέγειν τὰ πονηρὰ
Καὶ δεινά μου πταίσματα, ὁ ταλαίπωρος ἐγώ;
Οἴ μοι, τί γενήσωμαι λοιπόν;
Ἀλλὰ, δέσποινα, κἀμὲ πρὸ τέλους οἴκτειρον.

Πᾶσαν ὁδὸν παροδεύσας ἁμαρτιῶν,
Σωτηρίας, ἄχραντε, τρίβον εὗρον οὐδαμῶς·
Ἀλλὰ σοὶ προστρέχω, ἀγαθή,
Μὴ παρίδῃς ἐκ ψυχῆς μετανοοῦντά με.

Τοῦ μὲν θανάτου τὴν ὥραν διηνεκῶς ἐννοῶ,
Πανάχραντε, καὶ τὸ βῆμα τὸ φρικτόν,
Συνηθείᾳ ὅλος καὶ κακῶν δελεάζομαι δεινῶς·
Ἀλλὰ βοήθει μοι.

Τῶν ἀγαθῶν ὁ φθορεύς με νῦν καθορῶν
Γυμνὸν, ἀπροστράτευτον καὶ μακρὰν ἀπὸ Θεοῦ γεγονότα
Θείων ἀρετῶν, καταπίνειν με ὁρμᾷ, δέσποινα, πρόφθασον.

Ψυχὴν ἐμόλυνα αἰσχρῶς, δέσποινα, Θεοτόκε,
Ἐξ ἀμέτρων πταισμάτων, ὁ ταλαίπωρος ἐγὼ,
Καὶ ποῦ λοιπὸν πορευθῶ,
Ἀπογνώσει ὅλος συνεχόμενος;

Τὸ κατ' εἰκόνα σου, ἁγνὴ, κατεσπίλωσα,
Οἴ μοι, ὑψηλόφρονι γνώμῃ ὁ ταλαίπωρος ἐγὼ,
Καὶ ποῦ λοιπὸν πορευθῶ;
Ἀλλὰ σπεῦσον, παρθένε, βοήθει μοι.

Οὐκ ἔστιν ὅλος ἐν βροτοῖς ὁ τὰ ἄθεσμα πράξας-
Γεννηθεὶς ἐν τῷ βίῳ, ὥσπερ ἐγὼ, ἀγαθή.
Ἀσελγείας δεινῶν.
Τὸ γὰρ θεῖον βάπτισμα ἐμόλυνα.

Εἰς τέλος ἔφθασα κακῶν, παναγία παρθένε·
Σὺ βοήθησον τάχει,
Οὐρανὸς γὰρ καὶ ἡ γῆ καταβοῶσι πικρῶς,
Τῶν ἀμέτρων πράξεων τὰ ἄτοπα.

Ὁ βίος μου ἄσωτος, ἡ ψυχή μου ῥυπαρά.
Καὶ ἡ ζωὴ πανάθλιος, τὸ δὲ σῶμα μου ὅλον
Ἐν τοῖς κακοῖς δεινῶς κατεσπίλωσα.
Διὸ σπεῦσον, παρθένε, καὶ βοήθει μοι.

Τὸ τέλος ἐφίστηκε καὶ οὐ φέρω, ἀγαθή,
Τὸ συνειδὸς ἐλέγχει με, παριστᾷ γάρ μοι,
Πράξεις τὰς πονηρὰς καὶ βίου τὸ ἄστατον·
Καὶ τὸ βῆμα πτοοῦμαι τοῦ υἱοῦ σου, ἁγνή.

Σαρκός μου τὴν πήρωσιν ποταμὸς
Ὁ τοῦ πυρὸς ὁ φοβερὸς καὶ ἄσβεστος ἀναμένει,
Πανάχραντε, ἀληθῶς καὶ σκώληξ ἀκοίμητος.
Ἀλλὰ ῥῦσαί με τούτων ταῖς πρεσβείαις σου.

Συν τρόμῳ συνέχομαι καὶ πτοοῦμαι, ἀγαθή,
Τοῦ πονηροῦ τὰ ἔνεδρα.
Πρὸ τοῦ τέλους γὰρ τρίζει μοι ὁ φθορεὺς ὀδόντας κατέχων με,
Ὡς αἰχμάλωτον ὄντα καὶ γυμνὸν ἀρετῶν.

Ἑπταπλάσιον τὴν φλόγα μοι ἐξέκαυσε τὴν τῶν παθῶν ὁ δόλιος,
Ταῖς μοιχείαις δὲ τῆς καρδίας ὅλον θανατοῖ,
Ἀλλ' ἄρδευσον ῥείθροις τῶν ἐμῶν δακρύων,
Μῆτερ τοῦ Θεοῦ, καὶ μὴ ἀπώσῃ με.

Συμπνιγόμενον τῷ βόθρῳ τῶν πταισμάτων μου,
Μή με ἐάσῃς, δέσποινα, καὶ γὰρ βλέπων με ἀπογνῶντα ὄντα,
Ἀγαθή, γελᾷ ὁ παμπόνηρος ἐχθρός.
Ἀλλὰ αὐτή σου κραταιᾷ χειρὶ ἀνάστησον.

Φοβερὸν μὲν τὸ κριτήριον, ταλαίπωρε ψυχή μου καὶ ἀναίσθητε,
Καὶ ἡ κόλασις ἀτελεύτητός τε καὶ φρικτή.

Ἀλλ' ὅμως νῦν πρόςπεσον μητρὶ τῇ τοῦ κριτοῦ σοῦ καὶ Θεοῦ,
Καὶ τί ἀπέγνως σαυτήν;

Ἐπί σε τὴν πᾶσαν, δέσποινα, ἐλπίδα μου ἀνέθηκα ὁ ἄσωτος.
Μὴ ἀποστρέψῃς ἀπ' ἐμοῦ τὸ πρόσωπόν σου νῦν,
Μὴ σπλάγχνα, φιλάνθρωπε, τὰ σὰ κλείσῃς μοι, μῆτερ τοῦ Θεοῦ·
Ἀλλὰ βοήθει μοι.

Ἐσκοτίσθην ὁ ταλαίπωρος, πανάχραντε, τῷ πλήθει τῶν ἀμέτρων κακῶν,
Καὶ ἠλλοίωμαι τῆς ψυχῆς τὸ ὄμμα καὶ τὸν νοῦν·
Διό με φωτός σου ταῖς αὐγαῖς πρὸς ἀπαθείας γλυκασμὸν θᾶττον εἰςάγαγε.

Τῆς Τριάδος τὸν ἕνα Θεὸν ἡ τέξασα,
Καὶ ἀγκάλαις βαστάσασα, μητροπάρθενε,
Σβέσον τῶν παθῶν τὸν πυρίφλογον κάμινον,
Καὶ δακρύων ῥείθροις ἀπόπλυνον ψυχήν μου.

Παρουσίαν θανάτου φρίττω, πανάχραντε,
Καὶ τὴν κρίσιν ἐκείνην ὅλως οὐ δέδοικα,
Πράττειν τὰ κακὰ οὐδὲ ὅλως ἀφίσταμαι.
Οἴκτειρον καὶ σῶσον πρεσβείαις σου πρὸ τέλους.

Στεναγμοὺς ἀσιγήτους, δέσποινα, δώρησαι,
Καὶ δακρύων πηγήν μοι, ἵνα ἐκπλύνω μου πταίσματα πολλά,
Καὶ ἀνίατα τραύματα· ὅπως ἐπιτύχω ζωῆς τῆς αἰωνίου.

Τῶν κακῶν μου τὰ πλήθη σοι ἐξηγόρευσα,
Ὡς οὐδεὶς γὰρ ἐν κόσμῳ ἄλλος παρώργισα,
Δέσποινα, Θεὸν τὸν υἱόν σου καὶ κύριον,
Τούτῳ με ἐν τάχει κατάλλαξον εὐχαῖς σου.

Ἰδοὺ προςέρχομαι σοὶ, πανάχραντε,
Φόβῳ πολλῷ καὶ πόθῳ τὴν ἰσχὺν ἐπιστάμενος
Τῆς πολλῆς πρεσβείας ὁ δοῦλός σου.
Μέγιστα γὰρ ἰσχύει, ὦ παντευλόγητε,
Δέησις μητρὸς πρὸς τὸν υἱόν, σπλάγχνοις γὰρ κάμπτεται.

Χοροὺς παράλαβε ἀρχαγγέλων τε καὶ τὴν πληθὺν
Τῶν ἄνω στρατευμάτων καὶ πρόδρομον,

Ἀποστόλων δήμους καὶ προφήτας τε, μάρτυρας καὶ ὁσίους, ἱερομάρτυρας,
Καὶ πρεσβείαν ποίησον ἁγνὴ ὑπὲρ ἐμοῦ πρὸς Θεόν.

Καὶ νῦν καὶ τότε τὴν σὴν βοήθειαν εὕρω, ἁγνή,
Ἐν ᾗ ὅταν ἐκλείπῃ τὸ πνεῦμά μου,
Τῶν δαιμόνων θᾶττον λυτρουμένη με,
Ῥῦσαι τῆς τυραννίδος τούτων, πανάχραντε,
Καὶ μή με ἐάσῃς, ἀγαθή, παραδοθῆναι αὐτοῖς.

Κριτὴν οἰκτίρμονα καὶ φιλάνθρωπον τὸν σὸν υἱὸν ἐκδέχομαι,
Ἁγνή, μὴ ὑπερίδῃς με· ἀλλ' αὐτόν μοι ποίησον εὐΐλατον,
Στῆσαι ἐκ δεξιῶν με, τότε, πανύμνητε, τοῦ ἀχράντου βήματος αὐτοῦ.
Εἰς σὲ γὰρ ἤλπισα.

Ἀρχαὶ, ἀρχάγγελοι, κυριότητες, καὶ σεραφὶμ,
Δυνάμεις, ἐξουσίαι καὶ ἄγγελοι, θρόνοι, πολυόμματα σὺν τοῖς χερουβὶμ,
Νῦν τὸν δεδοξασμένον τόκον σου σέβοντες,
Σὲ, παρθενομῆτορ, εὐλαβῶς ἀεὶ δοξάζομεν.

Goar Euchol. p. 686 seqq.

E.

Sophronius.

XVII.

Εἰς τὸν εὐαγγελισμὸν τῆς θεοτόκου.

Ἀπὸ πνεύματος Θεοῖο
Ἐπ' ἀποστόλους μολοῦντος
Πυρίνην ἐμοὶ παράσχοις,
Μαρίη, λιτῇσι γλῶσσαν.

Βροτέῃ λέγειν γὰρ ὄντως
Σφαλερὸν πέφυκε γλώττῃ,
Θεόπαις, τεὴν λοχείην
Θεόθεν βροτοῖς φανεῖσαν.

Γενέτης Θεὸς τὰ ὄντα
Σοφίῃ τέτευχε πάντα,
Ἀγαθῶν ὅπως τε θείων
Ἐσαεὶ κτίσις μετάσχοι.

Διὸ δὴ χερῶν κρατίστων
Ἀπὸ γῆς κόνιν κομίσσας,
Μερόπων ἔτευξε φύτλην
Μεγάλα βροτοῖς ὀπάζων.

Παρθενικῆς Μαρίης ἔ-
θνεα κόσμου
Σεμνὰ κυηφορίην μέλψατε
πάντα.
Μερόπων ὅλη γενέθλη
Μαρίης κλυτῇ κυήσει
Ἱερὸν μέλος λιγαίνοις.

Ἐπὶ γῆς δ' ἄνακτα θῆκεν
Τὸν Ἀδὰμ βροτῶν τοκῆα,
Ἵνα τῶν ὅλων ἀνάσσῃ
Χθονίων κτίσαντος ἔργων.

Ζαθέως δ' Ἀδὰμ βιοῦντι
Στυγερὸς φθόνησε δαίμων,
Διό μιν δράκων κατέκτα
Ἀπάτης ξίφος δονήσας.

Ζόφον ἐς φρένας δὲ πᾶσα
Μερόπων τρέφουσα φύτλη,
Πάλιν ἐς χθόνα προκύπτει
Θανάτου φθορᾷ πεσοῦσα.

Θεὸς εἰσορῶν δὲ ταῦτα,
Ἔλεον βρύων σὺν οἴκτῳ,
Γόνον ὡς βροτὸν προπέμ-
πει,
Ἵνα τοὺς βροτοὺς σαώσῃ.

Μερόπων ὀλλυμένων δαί-
μονος ἔργοις,
Ὁ πατὴρ υἷα λόγον δῶκεν
ἀρήγειν.
Σατανᾶ βροτοὺς κακοῦντος,
Ὁ θεὸς γόνον παρέσχεν
Ἀδικουμένοις ἀρήγειν.

Ἱερὸν δ' ἔπεμψε λάτρην
Γαβριὴλ ἐς ἄστυ θεῖον,
Ὅ γε Ναζαρὲθ καλοῦσιν,
Μαρίην πρὸς ἁγνὸν ἄνθος.

Κλυτὸς ἄγγελος Θεοῖο
Τότε παρθένον προςεῖπε·
Μαρίη πάναγνε χαῖρε,
Μετὰ σοῦ θεὸς γενέσθω.

Λόγον ἀγγέλου δὲ κούρη
Καθαραῖς φρεσὶν λαβοῦσα,
Ἐλογίζετο κρατίστη
Ποταπὸς λόγος θεόπτου.

Μαρίην πάλιν δὲ λάτρης
Γλυκεροῖς λόγοις προςεῖπεν·
Μαρίη, φόβον διώξοις,
Χάριν ἐν Θεῷ γὰρ εὗρες.

Ὁ Θεὸς ἦν προτυπῶν,
παρθένε, σάρκα,
Βάτον οὐ καιομένην δεῖξε
προφήτῃ.
Προτυπῶν Θεός γε σάρκα,
Μαρίη, τεήν, ἐδείκνυ
Βάτον ἄφλογον προφήτῃ.

Νόον ἔνθεον λαχοῦσα
Γόνον ἐνθέως λοχεύσεις,
Γόνον ὃν καλεῖς Ἰησοῦν,
Ὅτι τὸν λεὼν σαώσει.

Ξένον ἐν βροτοῖσι κοῦ-
ρον
Τότε παρθένος προςεῖπε·
Πόθεν ἔσται μοί γε τοῦτο
Γαμικῶν ἄνευθε λέκτρων;

Ὁ δὲ παρθένῳ προςεῖπε·
Ἅγιον πνεῦμα Θεοῖο
Ἅμα τε σθένει μεγίστῳ
Ἐπί σε, κλυτή, κατέλθοι.

Πόρον ἐκ Θεοῦ λαβοῦσα
Γόνον ἀσπόρως γε τέξῃ,
Διό μιν Θεοῖο παῖδα
Καλέσει βροτῶν γενέθλη.

Τὰ Χερουβὶμ, Μαρίη πάγ-
κλυτε, μούνη

Μερόπων ἐκ χθονίων δίξαο κῦδος.
Ἀφ' ὕλης βροτῶν γενέθλης,
Μαρίη κλέος Χερουβὶμ
Ὁσίως ἔδεκτο μούνη.

Ῥοθέως δὲ σὸν φανέντα
Ὁ Θεὸς θρόνον παράσχοι
Τὸν Ἰεσσίδου τοκῆος
Ἰακὼβ δόμον ἀνάσσειν.

Σαόφρων δ' ἔπειτα κούρη
Πάλιν ἀγγέλῳ προςεῖπεν·
Ἐπ' ἐμοὶ Θεοῖο δούλῃ
Κατὰ σὸν λόγον γενέσθω.

Τότε παρθένον γε, λάτρης
Πόλον ἐς, λιπὼν, ἀνέπτη,
Τότε γαστέρος φαάνθη
Μαρίης ἄριστος ὄγκος.

Ὃν πόλος εὐρυπέλωρ οὐ χάδεν ἔνδον,
Σὴ χάδεν εὐρυνόη νηδὺς ἀρίστη.
Πόλος οὐ χάδεν Θεοῖο,
Μαρίη, λόγον· τεή δε
Σαόφρων ἔδεκτο μήτρη.

Ὑφάλοις κόρην δὲ λέκτροις
Νέον ἔγκυον ποιῆσαι
Ὁ σοφὸς δοκῶν Ἰωσὴφ
Κρυφίως θέλεν διώκειν.

Φίλος ἔσκε γὰρ δικαίου,
Ὅθεν οὐ κόρην ἐλέγχει,
Θανάτου θέλων βιαίου
Μαρίη φυγὴν ὀπάσσαι.

Χθαμαλὰ φρεσὶν νοοῦντι
Γλυκερὸς προςῆλθεν ὕπνος,
Τότε καὶ λάτρης Θεοῖο
Κατ' ὄναρ λέγεν δικαίῳ·

Ψόγον ἐκ φρενῶν διώξας,
Μαρίην ἄγεις γυναῖκα,
Ἀπὸ πνεύματος γὰρ αὕτη
Ἁγίου βρέφος λοχεύσει.

Ψόγον εὐθέως δὲ ῥίψας
Μαρίην δόμοις κομίζει,
Ἵνα παρθένον φυλάξῃ
Ἄγαμον καλῶν ἄκοιτιν.

Γαστέρι θεοδόχῳ κόσμον ἀείρεις
Κοσμοτόκου σοφίης φορτὶς ἐοῦσα.
Λαγόσιν τοκῆα κόσμου
Μαρίη φέρουσα, κόσμον
Λαγόσι κλυταῖς κομίζεις.

Sophronii carmina anacreontica, quae se editurum esse olim promiserat Leo Allatius, primum e codicibus Barberinianae bibliothecae eruit Petrus Matranga in libro, qui inscribitur Spicilegium Romanum Romae 1840. Tom. IV. p. 49 seqq. Conf. Praef. Matrangae p. XX seqq. Sed facere non possum, quin quae idem vir de his carminibus iudicavit praef. p. XXIV seq. adscribam. „Iamque norunt omnes, haec carmina elegantissima piissima et mellitissima a Leone Allatio fuisse iamdiu existimata. Revera a tanti litterati iudicio prudens lector non facile recedet; quin immo si rem bene perpendere voluerit,

Sophronii carmina amplissimas etiam mereri laudes fatebitur. Siquidem cum temporum vi res litterariae e classica dignitate sensim excidebant, cum sententiarum gravitati sermonisque puritati vacua verbositas succedebat, melodum nostrum tot tantisque malis iactatum, concinnos versus compegisse et poetica venustate exornasse, hoc omnino est admiratione dignum. Praeterea Sophronius ea utitur facilitate in rebus etiam difficilibus exprimendis, dum fidei mysteria atque catholicae religionis dogmata exponit, quorum non vulgari est imbutus cognitione, (Photius cod. 231: *τῶν ἱερῶν οὐ τὴν τυχοῦσαν μάθησιν ἀποδείκνυται.*) ut insuper exoptare nescias; et aliquot odarum initia tantam imaginum venustatem prae se ferunt, ut eximium aliquem aureae graecitatis auctorem habuisse videantur." — v. 7 et 8. Codd. *Θεόπαις τε τὴν λοχείην· Θεόθεν βροτοῖς φανεῖσα.* v. 45. Codd. habent lectionem *ὃ Γενεσαρέθ*; recte emendavit P. Matranga *ὅ γε Ναζαρέθ*. — v. 97. Eadem fere verba adhibuerat Anatolius: *Ὃν γὰρ οὐρανὸς οὐκ ἐχώρησεν, ἡ νηδύς σου κεχώρηκεν εὐλογημένη.* Conf. Menaeum graec p. 117. — v 102. *ὕφαλος* est *ὁ ὑποκάτω τῆς θαλάσσης, κρύφιος, λαθραῖος.* — v. 122. Codd. *γαστρί.*

XVIII.

Εἰς τὴν Χριστοῦ τοῦ Θεοῦ γέννησιν.

Ἄγε μοι Θεοῖο πνεῦμα,
Μαρίη, πάλιν λιτῆσιν
Ἵνα καὶ τόκον πρεπόντως
Τεὸν ἔνθεον λιγαίνω.

Βασιλεὺς κέλευσε Καῖσαρ
Ἐπὶ γῆς βροτούς γε πάντας
Πόλιν εἰς τάχος δραμόντας
Πατρικὴν ἀπογραφῆναι.

Γαμετὴν ἄθικτον ἔνθεν
Μαρίην τεκοῦσαν οὔπω
Ὁ κλυτὸς λαβὼν Ἰωσὴφ
Ἐπὶ Βηθλεὲμ πορεύθη.

Δαπέδου γὰρ ἦσαν ἄμφω
Ἀφ᾽ ἑνὸς, σπορᾶς, πολίχνης,
Ἱεροῦ τὰ πάντα Δαβὶδ,
Ὅς ἄναξ πέλεν προφήτης.

Μαρίης εὐτοχίη πάντα σαώσει,
Μερόπων σωζομένων λύτρον ἀείδω.

Μαρίης καλὴ λοχείη
Προφανῶς τὰ πάντα σώζει,
Μερόπων τὰ λύτρα μέλπω.

Ἐρέω τόκον Θεοῖο
Ἐνὶ Βηθλεὲμ φανέντα,
Ἐρέω νόμους τεκούσης
Φύσεως νόμους λαθούσης.

Ζαθέως χρόνων πρὸ πάντων

Λόγος ἐκ Θεοῦ λοχεύθη,
Ἀχρόνῳ γάρ ἐστι κοῦρος
Πατρὶ συμφυὴς ὁμῆλιξ.

Ζαθέως δὲ νῦν ἐτέχθη
Πάλιν ἐκ κόρης πανάγνου,
Ὁ χρόνους ὅλους λοχεύων
Πάλιν ἐν χρόνοις λοχεύθη.

Θεϊκῶς πάλιν προῆλθεν
Ἀπαθῶς Θεοῦ τεκόντος,
Βροτέως δὲ νῦν φαάνθη
Βροτέης κόρης τεκούσης.

Μαρίης θειοτόκου ἄρτι τεκούσης,
Μερόπων εὐφροσύνην ἄρτι λιγαίνω.
Μαρίης Θεὸν τεκούσης
Τοκετοῦ ξένου φανέντος,
Μερόπων χαρὰν λιγαίνω.

Ἱερῇ φύσει Θεοῖο
Μερόπων φύσιν βροτείαν
Ἀδιαστάτως ἑνώσας
Τὰ δύω πέλων προῆλθεν.

Κρατερὸς πέφευγε φύρσιν,
Ἀδιαιρέτως δ' ἔμιμνε,
Ὅθεν ἐν δύω φαάνθη
Φύσεσι διπλοῦς ὑπάρχων.

Λόγος ὢν Θεός τε πάντων
Βροτὸς εὐδοκεῖ γενέσθαι,
Ἵνα τοὺς βροτοὺς πεσόντας
Γενέτῃ Θεῷ συνάψῃ.

Μέσος αὐτὸς ἦλθε Χριστὸς
Γενέτου βροτῶν τε φύτλης,
Ὅτι καὶ φύσιν βροτείαν
Μεθέπων Θεὸς νοεῖται.

Ἐπὶ γῆς κοσμογόνου πᾶσι φανέντος,
Στυγερῆς ἀμπλακίης κόσμος ἐρύσθη.
Ἐπὶ γῆς Θεοῦ φανέντος
Ἀφ' ἁμαρτάδος κακίστης
Τὸ βροτῶν πέφευγεν ἔθνος.

Νομίμως ὅθεν τεκοῦσαν
Θεομήτορα προσείπω,
Ὅτι νῦν Θεὸν λοχεύει
Μερόπων φύσει μιγέντα.

Ξένον, ὦ φίλοι, τὸ θαῦμα
Ὅτι παρθένος λοχεύει,
Ὅτι παρθένος τε μίμνει
Τοκετοῦ λαβοῦσα πεῖραν.

Ὅθεν ὁ κλυτὸς προφήτης
Νεφέλην κάλεσσε κούφην,
Ὅτ' ἄνευ σπορᾶς βροτείας
Νοερὸν λόχευσεν ὄμβρον.

Προορῶν πάλιν προφήτης
Μαρίην ἄνυμφον εἶπεν,
Τόμον ἄγραφόν τε καινὸν
Γραφὲν οὐ χερὶ βροτείῃ.

Δογμάτων εὐσεβίης ἄρτι φανέντων
Ἀπάτης ἀνδροφόνου κάτθανε δαίμων.
Δογμάτων Θεοῦ φανέντων
Ἀπάτης ἄναξ ὁ δαίμων
Θάνεν ὁ βροτοὺς φονεύσας.

Ῥυπαρῆς ἄνευθε κούρη
Γόνον ἡδονῆς τεκοῦσα,
Ἀλόγων τέθεικε φάτνῃ
Λογικῶν τρέφοντα φύτλην.

Σοφίης γὰρ ἐκπεσοῦσαν
Γενεὴν βροτῶν, Θεοῖο
Σοφίη πάλιν σαώζει,
Λογικοὺς βροτοὺς τιθεῖσα.

Τότε τὸν πόλον λιπόντες
Στρατὸς ἀγγέλων κατῆλθεν

Ἐπί τε χθονὸς χορείην
Ἱεροῖς ἔτευχον ὕμνοις.

Ὕπαρ ηὐλόγουν· φαάν-
θη,
Κλέος ἐν πόλῳ κρατοῦντι,
Ἐπὶ γῆς ὅλον γαλήνη
Γενεῆς βροτῶν θελήσει.

Ἀγγελικῆς στρατιῆς ὕ-
μνον ἀείδω,
Δεσποτικῶν τοκετῶν θαῦ-
μα γεραίρω.
Τοκετῶν Θεοῦ τὸ θαῦμα
Μεγάλως ἀεὶ γεραίρων,
Μέλος ἀγγέλων λιγαίνω.

Φυλακὴν δ' ἐκεῖ νο-
μεῦσιν
Ἐπὶ ποιμνίοις ποιοῦσιν
Νυχίῳ χρόνῳ παραστας
Λέγεν ἄγγελος Θεοῖο·

Χάριν ἐξερῶ βροτοῖσιν,
Ἀφύβως κλύειν κελεύω,
Ὅτι Χριστὸς ὕμμιν ἄρτι
Ἐνὶ Βηθλεὲμ λοχεύθη.

Ψεκάσιν ῥέοντες ὄμβρου
Ἀπὸ συντόνου πορείης,
Ὀθόναις φάτνῃ σκεπασθὲν
Βλέπετε βρέφος τὸ θεῖον.

Ψεδνὰ δ' ὡς ὄρη νομῆες
Λίπον, εὐθέως δραμόντες
Τὸ βρέφος κατ' ἄντρον
εὗρον
Μαρίῃ συνὸν τεκοίσῃ.

Ὁσίοις μηλονόμοις σύν-
δρομα βαίνειν
Ἐπὶ τὴν θειοδόχον σπεύ-
σατε φάτνην.
Ἱεροῖς ὁμοῦ νομεῦσιν
Σπέος ἐς Θεοῦ δοχεῖον
Ἅγιον τρέχοιτε πάντες.

Conf. Spicileg. Romanum l. c. p. 53 sqq. Extat Sophronii sermo eiusdem argumenti in Bibl. Patr. Tom. XII. ed. Lugdun. — v. 16. Codd. δ. — v. 26. Codd. variam lectionem exhibent: *ζαθεων χρόνους.* — v. 32. Codd. variam lectionem habent: *χρόνος.* — v. 39. Codd. *εὐφροσύνης.* — v. 99. Codd. perperam *ἐπεί.* — v. 100. Cod. Barb. *γενεή.*

XIX.

Εἰς τὴν τῶν μάγων προςκύνησιν.

Ἀγαθῶν Μάγων δικαίων
Δρόμον εὐσεβῆ λιγαίνω,
Ὅτι μου λύρην δονοῦσιν
Ἀπὸ Περσίδος μολοῦντες.

Βρέφος εἰ μόνον λοχεύθη
Μαρίης ἄναξ ἁπάντων
Ἐνὶ Βηθλεὲμ μεγίστῃ
Πόλεϊ σπορᾶς Ἰούδα.

Γόνος ἔσκεν Ἀντιπάτρου
Ὁ τότε κρατῶν Ἑβραίων,
Ὅς ἀπ' Ἀσκάλου προελθὼν
Παρὰ τοὺς νόμους ἀνάσσει.

Δρομέες τότε προῆλθον
Ὅθεν ἥλιος προλάμπει,
Ἱερουσαλὴμ δ' ἐςῆλθον
Λογάδες μάγων κρατίστων.

Χριστὸν ἐς ἀρτιγενῆ δῶρα λαβόντες,
Ἀστέρι σύν τε μάγοις κόσμος ἑπέσθω.
Ἐπὶ Χριστὸν ἄρτι πάντες
Ἅμα τοῖς Μάγοις δραμοῦμεν
Νέον ἀστέρα σκοποῦντες.

Ἔλεγον δὲ πρὸς πολίτας·
Ἄρα ποῦ πέλει, πολῖται,
Βασιλεὺς ὁ νῦν λοχευθεὶς
Ἱερῆς Ἰούδα φύτλης;

Ζαθέῃ γὰρ ἐν τιθήνῃ
Ἑὸν ἀστέρα σκοποῦντες,
Ἅτε δμῶες ἁγνὸν αὐτῷ
Σέβας ἤλθομεν προσοίσειν.

Ζάκοτον δ' ἄνακτα χώρης
Τὰ Μάγων μαθόντα πάντα
Ναέταις ὁμοῦ κακίστοις
Κλόνος ἄγριος κατέσχεν.

Θεϊκῶν γραφῶν δὲ μύστας
Ἱερεῦσι συγκαλέσσας
Ἐρέεινεν ἔνθα Χριστὸς
Ἀποτίκτεται βροτείως.

Φῦλα Μάγων κρατερῶν ὄλβια φήσω
Πίστιν ἐθνῶν προόλων οὕνεκα μάρψαν.
Ἱεροὺς Μάγους καλέσσω,
Ὅτι πίστιν εὗρον οὗτοι
Ἱερὴν ἐθνῶν πρὸ πάντων.

Ἱερεῖς δὲ θᾶττον εἶπον·
Ἐνὶ Βηθλεὲμ πολίχνῃ
Μερίδος κλυτῆς Ἰούδα,
Τόδε γὰρ γράφει προφήτης.

Κρυφίως δ' ἄναξ ἀλήτης
Τότε τοὺς Μάγους καλέσσας,
Μάθεν ἀτρεκῶς πρὸς αὐτῶν
Χρόνον ἀστέρος φανέντος.

Λέγε δὲ σφίσι δολόφρων
Ἐπὶ Βηθλεὲμ προπέμπων·
Ταχέως, φίλοι, σκοπεῖτε
Περὶ τοῦ βρέφους ἰόντες.

Μετὰ τὴν θέαν δὲ πάντως
Φανερώσατε προθύμως,
Ἵνα κἀυτὸς εὐθὺς ἐλθὼν
Κεφαλὴν ἄνακτι κλίνω.

Βασιλεῦ, ἀφραδίῃ πάντα παρῆλθες,
Τίς ἐὼν χριστοφόνος δεινὸς ἀκοῦσαι;
Βασιλεῦ, ἄφρων φαάνθης
Ὅτι Χριστὸν αὐτὸς οἴει
Ἀνελεῖν ἄκοντα τέχνῃ.

Νόμον ἐς φρένα λαβόντες
Ἀνόμων ἄνακτος ὕθλων,
Ἱερουσαλὴμ λιπόντες
Ἐνὶ Βηθλεὲμ προσῆλθον.

Ξένον ἀστέρος δὲ φέγγος,
Ὅπερ ἐν πάτρῃ κατεῖδον,
Προφανῶς σφέας προῆγεν
Ἄχρι τῶν βρέφους μελάθρων.

Ὅθεν ἐν χαρᾷ μεγίστῃ
Ἐτέλουν ἰδόντες αἴγλην,
Μεγάρων δ' ἔσω μολοῦντες
Ἅμα μητρὶ Χριστὸν εἶδον.

Πρὸ ποδῶν Θεοῦ πεσόντες
Τάδε οἱ τὰ δῶρα δῶκαν,
Λίβανον καλόν τε χρυσὸν,
Τρίτον ἦν ἄρωμα πάτρης.

Σαμαρείης προνομὴν, ἔργα Δαμασκοῦ,
Γενέτας πρὶν καλέσῃ, Χριστὸς ἀφεῖλεν.
Ἔτι μικρὸς ὢν ὁ Χριστὸς

Δύναμιν λάβε Δαμασκοῦ
Σαμαρειτικῷ σὺν ὄλβῳ.

Ῥόον ὡς δ' ἄνακτα φεύγειν
Κατ' ὄναρ Μάγοι μαθέντες,
Τάχος ἐς πάτρην ἐχώρουν
Ἑτέρην τρίβον πατοῦντες.

Στρατιῆς πρόμος Θεοῖο
Καθ' ὕπνους ἔφη Ἰωσήφ·
Συνελὼν πάϊν τεκούσῃ
Ἐπὶ γῆν πρόφευγε Νεῖλον.

Τὸ τάχος γὰρ Ἀντιπάτρου
Γόνος αὐτὸν ἐκδιώξει,
Ὄφρα μὶν τάλας ὀλέσσῃ
Φθονερῷ ξίφει κρατήσας.

Ὑποτίτθιον δὲ θᾶττον
Βρέφος ἐξ ὕπνων ὀρούσας,
Φορέων ὁμοῦ τεκούσῃ
Ἐπὶ Νεῖλον ἦλθε φεύγων.

Θάμβος ἐμὴν κραδίην ἀμφιπολεύει,
Ὅττι Θεὸς χθονίων μῆνιν ἀλύσκει,
Κραδίην ἐμὴν ἑλίσσει
Μέγα θάμβος, ὅττι Χριστὸς
Χόλον ἔκφυγεν τυράννου.
Φαραὼ κάκιστος ἄλλος
Βασιλεὺς ἐκεῖνος ὤφθη
Κοτέων Μάγοισι θείοις
Ἐπὶ πατρίδα τραπεῖσιν.

Χαλεπῷ δὲ πάντα πέμψας
Βρέφεα ξίφει κατέκτα
Ὅσα Βηθλεὲμ λοχεύθη
Ἀφ' ὅτου πέφηνεν ἄστρον.

Ψόφος ἀτρεκῶν προφήτου
Λογίων τότε κραάνθη,
Ὃν ὁ Χελκίου θεόπτης
Πάϊς ἐν βίβλοισι γράψεν.

Ψόφος ἐν Ῥαμᾷ προῆλθεν
Γοερῶς Ῥαχὴλ γοώσης
Τέκνα, δακρύων δὲ τέρμα
Ὅτι μὴ πέλον στυγούσης.

Βρεφέων μαρτυρίην τίετε πάντες,
Ἵνα Χριστόν γε, φίλοι, ἵλαον εἴδω.
Βρεφέων ποθοῦμεν ἄθλους
Ἁγίους, ὅπως κεν ἄμμιν
Θεὸν ἵλεων ποιῶσιν.

Conf. Spicil. Rom. I. c. p. 58 seqq. — v. 41. Codd. habent lectionem Ὄπῃ. — v. 79. Codd. ἀρώματα, sed metrum postulat ἄρωμα. — v. 95. Codd. ὀλέσσοι.

XX.

Εἰς τὴν ἀπαντὴν τοῦ κυρίου καὶ Θεοῦ.

Ἀπὸ Βηθλεὲμ παρέλθω
Μετὰ παρθένου τεκούσης,
Βρέφος ἀγκάλαις φερούσης
Κλυτὸν ἐς δόμον Θεοῖο.

Βιβλίον κόμιζε Λουκᾶ,
Κιθάρην φέρε προφῆτα,
Ἵνα σὺν τεχθέντι Χριστῷ
Διφυὲς μέλος προςάξω.

Γενέτῃ γάρ ἐστιν ἴσος
Θεὸς ἐκ Θεοῦ παλάμαις,
Ἴσος αὖ πάλιν τεκούσῃ,
Βροτὸς ἐκ βροτοῦ γὰρ ὤφθη.

Διὸ σύνθετον καλέσσω
Τὸν ἀσυγχύτως φανέντα,
Δύο γὰρ φύσεις τελείας
Μετὰ σύνθεσιν δοκεύω.

Ἐς Θεὸν, ἐς γενέτην Χριστὸς ἱκάνει,
Δεσποτικοὺς προθέειν σπεύσομεν ἴχνους.
Ὅτι Χριστὸς ἐς τοκῆα
Θεὸν ὡς βρέφος προῆλθεν,
Προθέειν προθεῖτε πάντες.

Ἔθιμος δ' ἐπεὶ τελέσθη
Ἁγίας χρόνος λοχείης,
Καθὰ Μωσέως κελεύει
Νόμος εὐσεβοῦς προφήτου,

Ζάθεον πάϊν τοκῆες
Ἱερουσαλὴμ ἐςῆγον
Βροτὸν ὡς Θεῷ προςοίσειν
Τὸν ἀεὶ Θεῷ συνόντα.

Ζάθεος νόμος γὰρ ἔσκεν
Ὅτι πᾶν διοῖγον ἄρσεν
Τοκετοῦ πύλας πανάγνους,
Ἅγιον Θεῷ καλείσθω.

Θυσίην δ' ὁμοῦ κομίζειν
Δύο τρυγόνας κελεύει
Ἀπορουμένοις δὲ τέκνα
Τὰ πελειάδων γενέθλης.

Χριστὸς ἐλευθερίην πᾶσιν ὀπάζων
Μωσαϊκῶν νομίμων ἄχθος ἀείρει.
Ὃς ἐλευθέραν ποιεῖται
Μερόπων νόμου γενέθλην,
Θεράπων νόμου φανθῇ.

Ἱερεὺς δέ τις κατῴκει
Ἱερουσαλὴμ ἐν ἄστει,
Συμεὼν μέγας προφήτης
Φορέων Θεοῖο πνεῦμα.

Κράτος ἀξίως ἐτίμα
Ἁγίαις φρεσὶν Θεοῖο,
Παράκλησιν οὗτος ἔθνους
Μένεν Ἰσραὴλ ἰδέσθαι.

Λόγον ἐνθέως βοῶντα
Ἅγιον παρέσχε πνεῦμα,
Ἵνα μὴ μόρῳ προςέλθῃ
Πρὶν ἴδῃ γόνον Θεοῖο.

Μεγάρων ἄφνω προῆλθεν,
Ἱερὸν δ' εἰςῆλθε θεῖον,
Ἅγιον γὰρ ἦγε πνεῦμα,
Ἵνα Χριστὸν αὐτὸν εὕρῃ.

Ὁ νόμος Μωϋσέως ἄρτι τελέσθη,
Ὅτι Χριστὸς προφανεὶς ὤπασε τέρμα.
Νόμον οἱ γονεῖς τελοῦντες
Ἱερεῖ βρέφος παρέσχον,
Ὁ δὲ δέξατο προθύμως
Παλάμαις Θεὸν δικαίαις.

Ξένα θαύματα σκοπήσας,
Ἅπερ οὐ πάρος τις εἶδεν,
Τεταχὼς ἐς ὕψος ὄμμα
Λέγε πρὸς βρέφους τοκῆα·

Ὁ Θεὸς, τεόν με δοῦλον
Κατὰ τὸν σὸν ἄρτι μῦθον,
Ἀπόλυσον ἐν γαλήνῃ,
Ὅτι σου τὸ λύτρον εἶδον.

Προφανῶς γὰρ αὐτὸ πᾶσιν
Ὁράαν βροτοῖς παρέσχες,
Φάος ἔθνεσιν φαείνειν
Κλέος Ἰσραὴλ λεῷ σου.

Συμεὼν ἐκ προγόνων ὄλβιος ὤφθης
Ὅτι Χριστὸν παλάμαις δέξαο μοῦνος.
Ῥόος ἐκ λόγων θεόπτου
Γενέταις ἔτικτε θάμβος,
Βάθος ἠγνόουν γὰρ οὗτοι
Κρύφιον σοφῆς προνοίας.

Συμεὼν τότε προφήτης
Μετὰ τοὺς λόγους ἐκείνους,
Ὀρέγων βρέφος κομίζειν
Μαριὰμ λέγεν τεκούσῃ·

Τὸ βρέφος, πάναγνε, τοῦτο
Ἐς ἔγερσιν ἐστὶ πολλῶν,
Μόρον αὐτέων σὺν ἐθνῶν
Ἐς ἐναντίον τε πῆμα.

Ὑπὸ σὸν δὲ πνεῦμα, κούρη,
Δόρυ κάρχαρον διέλθοι,
Κραδιῶν ὅπως ἀπείρων
Φανεροὺς λόγους ποιήσῃ.

Ἔννομος εὐσεβίῃ πᾶσι φαείνει,
Πρῶτος ἔγνως Συμεὼν Χριστὸν ἐόντα.
Φάτις εὐθέως ἱκέσθαι
Ἱερὰν προφῆτιν Ἄννην·
Θυγατὴρ πέλεν Φανουὴλ
Ἀπ' Ἀσὴρ ἰοῦσα φύτλης.

Χρόνον οὐ βραχὺν γὰρ αὕτη
Σαόφρων πέλεσκε χήρα,
Ἱερῷ ἀεὶ παροῦσα
Θεὸν ἠϋμένιζεν ὕμνοις.

Ψόγον οὐδ' ὅλως ποιοῦσα
Πολιοῖς ποσὶν παρέστη,
Φανερὸν δ' ἔτευξε Χριστὸν
Ἱερουσαλὴμ πολίταις.

Ψόγον ἐξελοῦσα λήθης
Κραδίῃ φύλασσε πάντα
Μαρίη, βρέφος δ' ἑλοῦσα
Ἐπὶ Ναζαρὲθ πορεύου.

Μαρίη καὶ Συμεὼν, καὐτὸς Ἰωσὴφ
Μετὰ Ἄννης, ἱκέτας σώζετε πάντας.
Μαρίη κλυτὴ σὺν Ἄννῃ,
Συμεὼν, ἄναξ Ἰωσὴφ,
Ἱκέταις γένοισθε τεῖχος.

Cf. Spicileg. Rom. 1 c. p. 62 sqq. Legitur praeterea haec ode in libro Leonis Allatii de Simeonibus p. 5. — v. 7. *σὺν* Allat. *τοῦ.* — v. 27. *ἔςῆγον.* Sic codd Leo Allat. contra metri rationem: *εἰςῆγον.* — v. 57. *ἦγε.* Sic cod. Barb. Allat. *εἶχε.* — v. 62. Allat. *πελοῦντες.* — v 75. *παρέσχες.* Codd. *παρέσχον.* — v. 103. *πέλεσκε χήρα.* Sic emendavit P. Matranga, quem secutus sum. Cod. Barb. *τέλεσσε κῆρα.* Allat. *πέλεσσε κῆρα.*

XXI.

Εἰς τὴν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν βάπτισιν.

Ἀπὸ τῆς φίλης ἐρήμου,
Ἀπ᾽ Ἰορδάνου τε θείου,
Ἅμα προδρόμῳ Θεοῖο
Ἅγιον μέλος βοήσω.

Βίον ἀγλαὸν διώκων
Ὁ μέγας Θεοῦ προφήτης,
Βρέφος ἔνθεον φαάνθη
Τρέχον ἐς κλυτὰς ἐρήμους.

Γονέων γὰρ ἦν δικαίων
Ἱεροῖς νόμοις βιούντων,
Διὸ πνεύματος Θεοῖο
Ἀπὸ νηδύος γεμίσθη.

Διὰ τοῦτο φεύγεν οἶνον,
Σικέρων τε πόσιν πάντων,
Ἅμα φιλτάταις ἐδωδαῖς
Ἑτέροις βροτοῖς ἐούσαις.

Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε,
Χείλεσιν ὑμνοπόλοις ἄρχεο μύθων.
Γόνε πανσόφου προφήτου,
Ἱερεῦ Θεοῦ προφῆτα,
Ἐπέων σοφῶν ὑπάρχου.

Ἔχε δὲ τροφὴν ἀρίστην
Ἀπόνως ἀεὶ παροῦσαν;
Ἀκρίδες πέλεν τὸ βρῶμα,
Μελεαγρίου τε ῥίζαι.

Ζάθεον φέρεν χιτῶνα
Ζακότων τρίχας καμήλων,
Ἐπὶ ὀσφύος δὲ μίτρην
Ἀπὸ δερμάτων κοπεῖσαν.

Θεόθεν προῆλθε κήρυξ
Προθέων γένους Θεοῖο,
Ὁ πατὴρ γὰρ τοῦτον ὦρσεν
Πάϊν ὄφρα πᾶσι δείξῃ.

Φωτογόνου τελετῆς ἄρτι φανείσης,
Φωτοφόροις κιθάραις μέλψομεν ὕμνους.
Τελετῆς κλυτῆς φανείσης,
Κιθάρας κλυτὰς λαβόντες,
Ἱεροὺς λέγοιμεν ὕμνους.

Ἱερὸν βροτοῖσι λύτρον
Ἐπὶ γῆς ἄγων ἐπέστη,
Λύχνος ἐμφανῶς φαάνθη
Θεὸν εὐσεβῶς πιφαύσκων.

Κατὰ γὰρ χθόνα κρατίστην
Κρατερῶς δίδασκε πάντα,
Τότε καὶ γόνους Ἰούδα
Ῥοθίοις καθαίρειν ἦρτο,

Λαλέων λεῷ παρόντι
Λέγεν εὐθέτους πορείας
Μάλα δὴ τάχιστα τεῦξαι
Νοερῶς Θεῷ μολοῦντι,

Μέγα κῦδος ἔνθεν ἦρεν
Παρὰ τοῖς βλέπουσι πᾶσι,
Διὸ Χριστὸν αὐτὸν εἶναι
Ἐδόκει λεὼς Ἑβραίων.

Ναύμασι θειοδόχοις λούσατο σῶμα
Πιστοτάτων μερόπων πᾶσα γενέθλη.
Ῥοθίοις Θεῶν λαβοῦσι
Μερόπων φιλευσεβούντων
Τὸ γένος κάθαιρε σῶμα.

Νοέων δὲ ταῦτα κήρυξ
Φάτο τῷ λεῷ· τίς ὔμμιν
Τέκνα δυστόκων ἐχιδνῶν
Προφυγεῖν ἔδειξε μῆνιν;

Ξεῖνον αὐτὸς οὐδὲν ἔρδω,
Ὅπερ οὐ γράφειν προφήτης.
Ἐμὲ γὰρ προςεῖπεν αὐδὴν
Ἐν ἐρημίῃ βοῶσαν.

Ὅθεν ὑμέας προβαίνων
Ῥοθίοις ἔγωγε νίζω,
Ταχέως δέ τοι προλάμψοι
Ὁ κρατῶν ἐμοῖο ῥώμη.

Παρὰ τοὺς πόδας δὲ τούτου
Θεϊκοὺς ἔγωγε νεύσας
Ἀπορῶ κλυτῶν πεδίλων
Παλάμῃ λύειν ἱμάντα.

Ἀνδρομέης γενεῆς λύματα ῥύπων
Ὕδασι Χριστὸς ἄναξ λούσατο σῶμα.
Γενεῆς ῥύπον καθαίρων
Χθονίων φαντὶς ὁ Χριστὸς,
Ῥοθίοις ἔβαψε σῶμα.

Ῥοθίοις ξένοισιν οὗτος
Μόνος ὑμέας κάθαιρε,
Νοερόν τι πῦρ προχεύων
Ἀπὸ πνεύματος ῥεέθρων.

Στεγανὸν πτύον κομίζων
Ἰδίην ἅλω καθαίρει,
Συνάγων δὲ σῖτον οἴκοι
Ἀχύρων γένος φλογίζει.

Τότε Χριστὸς αὐτὸς ἦλθε
Πρὸς ἑὸν μέγαν προφήτην,
Ἵνα μιν τάχιστα βάψῃ
Ἐν Ἰορδάνου ῥεέθροις.

Ὑπέφευγε δ' ὁ προφήτης
Τόδε δρᾶν' ἔγωγε, φάσκων,
Ῥοθίων τεῶν χατίζω,
Σὺ δ' ἄναξ τί πρός με βαίνεις;

Μερόπων ἀμπλακίας οἶδμα καθαίρει,
Ῥοθίων ἁγνοτόκων κάρτος ἀείδω.
Μερόπων τὸ νᾶμα κλύζει
Κακίας, ῥόου πανάγνου
Σθένος εὐκλεὲς βοήσω.

Φαέθων δὲ Χριστὸς εἶπεν,
Ἄφες ἄρτι, τοῦτο ῥέξαι,
Ὅτι μοι προςῆκεν οὕτω
Τελέσαι τρόπον δικαίου.

Χέρα δεξιὴν προτείνει
Ἐν Ἰορδάνῃ προφήτης,
Τρομέων δ' ἄνακτα βάψειν
Τὸν ὅλων κάθαρσιν ὄντα.

Ψόφος ἦν πατρὸς βοῶντος·
Ἐμός ἐστι κοῦρος οὗτος.
Τὸ δὲ πνεῦμα προςκατέπτη
Ἐπὶ Χριστὸν ὡς πελείη.

Εἷς Θεὸς ἐν τριάδι προὔπτον ἐδείχθη,
Τοῦτον ἐν εὐσεβίῃ τίετε πάντες.
Θεὸς εἷς τριὰς φαάνθη,
Ὁ πατὴρ, παῖς, τὸ πνεῦμα,
Μόνον αὐτὸν εὐσεβοῦμεν.

Conf. Spicil. Rom. l. c. p. 66 sqq. — v. 57. Alii θεόν. — v. 77. Χριστός codd. χόρτος.

XXII.

Εἰς τὴν βαϊηάντησιν τοῦ κυρίου.

Ἀγίης πρὸ ἓξ ἑορτῆς
Μόλεν ἡμερῶν Ἰησοῦς
Ὅθι Λάζαρον θανόντα
Διέσωσεν ἐκ βερέθρου.

Βαδιὼν δὲ πρὸς κολώνην
Ἱερὴν ὄρους ἐλαιῶν
Δύο πέμψε τῶν μαθητῶν
Ἐνὶ Βηθφαγῇ κελεύσας·

Γονάτων δρόμοις μολοῦντες
Ἐπὶ τὴν ἔναντι κώμην
Ὄνον αὐτόθεν τε πῶλον
Ἀγάγοιτε σὺν τεκούσῃ.

Διὸ δεσπότῃ βοῶντι,
Τί λύειν ὄνους ποθεῖτε;
Ἐρέειτε, Χριστὸς εἶπεν,
Ὁ δὲ συντόμως προπέμψει.

Θεοφόβοισι χαρᾶς ἦμαρ ἐπέστη,
Δεῖμα φέρον στυγερὰν πᾶσιν Ἑβραίοις.
Χαρίεν σέβουσι Χριστὸν
Μόλεν ἦμαρ, ἔμφοβον δὲ
Ἀσεβεστάτοις Ἑβραίοις.

Ἕταροι δὲ τὰς κελεύσεις
Τέλεσαν γόνου Θεοῖο,
Ἅμα γὰρ φέρον τεκούσῃ
Ἀδαηπόνον τε πῶλον.

Ζυγὸν οὐ μαθέντι πώλῳ
Βαρὺν, οὗ βροτοὺς ἀείρει,
Ἀπέθηκαν εὐθὺ Χριστὸν
Ἐπιθέντες ἁγνὰ πέπλα.

Ζάθεος δέ τις προφήτης
Προέλεξε ταῦτα βίβλῳ·
Θύγατερ, γὰρ εἶπε, Σιὼν
Ἄφοβος φίλη προλάμποις.

Θεόθεν γὰρ εἰς σὲ σώζων
Βασιλεύς τε πραῢς ἔλθοι
Ἐπ' ὄνου τε πῶλον ἵζων
Ὁ μέγαν πόλον πολεύων.

Χριστὸς ἐς ἄστυ θέει Ἱεροσολύμων,
Ὄφρα θάνοι μερόπων εἵνεκα λύτρου.
Ἱερουσαλὴμ ἐς ἄστυ
Θανέειν ὁ Χριστὸς ἦλθε
Μερόπων ὑπὲρ γενέθλης.

Ἱερουσαλὴμ πολῖται,
Τὰ βρέφη, γέροντες ἄνδρες
Ἅμα τοῖς ξένοισιν ὄχλοις
Ἐπὶ πάσχα συνδραμοῦσιν.

Κατὰ τὴν πόλιν μαθόντες
Ὅτι Χριστὸς εἰσελαύνει,
Βάϊα κρατοῦντες ἄκρα
Ταχινοῖς δρόμοις ὑπήντων.

Λασίοις κλάδοις ἐλαίης
Τινὲς ἔτρεχον λαβόντες,
Θαλερὴν κόμην δὲ δένδρων
Τριόδοις ἔβαλλον ἄλλοι.

Μεγάλως σέβοντες αὖθις,
Ἕτεροι τὰ λαμπρὰ πέπλα
Τραχιναῖς τρίβοις ἐφήπλουν
Ὅθι Χριστὸς εἶχε βαίνειν.

Ἐν χλοεραῖς ἀνέρες φυλλάσι δένδρων
Θᾶττον ὑπαντιάαν σπεύσατε Χριστόν.

Παλάμαις κλάδους κροτοῦντες
Χλοεροὺς ἐς ἄντα Χριστοῦ
Μερόπων τρέχει γενέθλη.

Νάεται, ξένοι τε πάντες
Σὺν ἀποστόλοισι Χριστὸν
Καθ' ὁδῶν νάπης ἐλαιῶν
Πελάοντα προσνοοῦντες.

Ξένον αἱ προσῆγον ὕμνον
Αἰγυθρόως βοῶντες,
Βασιλῆϊ παιδὶ Δαβὶδ
Ἐν ὑπερτάτοισιν αἶνος.

Ὁ κλυτῇ Θεοῖο κλήσει
Προσιὼν μάκαρ τις ἔσκε·
Μακαριστὸν αὖτε Δαβὶδ
Τὸ μολὸν κράτος τοκῆος.

Περίφημον εὐθὺς ὕμνον
Ἱερεῖς κλύοντες ὄχλου
Σὺν ἀποστόλοις βοῶντες
Ἔφασαν γόνῳ Θεοῖο·

Ἀντὶ πέπλων κραδίας δείκνυμεν ἁγνὰς
Χριστὸς ὅπως ὁμαλὴν οἶκον ὁδεύσῃ.
Ῥόον ὃν φέρουσιν ὄχλοι
Ἅμα σοῖς, ἄναξ, μαθηταῖς
Στόμασιν κέλευε παῦσαι
Ὑπέρογκα γὰρ βοῶσιν.

Σχεδόθεν, δὲ Χριστὸς εἶπεν,
Ἀτρεκῶς λέγω, κακοῦργοι,
Ἐὰν οὓς ἔφητε παύσω,
Ἄλαλοι λίθοι λαλοῦσιν.

Τότε καὶ πόλις σαλεύθη
Πυλέων μολοῦντες εἴσω·
Τότε τις πρὸς ἄλλον εἶπε·
Φάθι δὴ τίς οὗτος ἐστίν;

Ὑγιῶς ὁ δὲ προςεῖπεν·
Ὁ μολὼν ἄναξ Ἰησοῦς
Γαλιλαῖος ὁ προφήτης
Ἀπὸ Ναζαρὲθ γενέθλης.

Συναγωγῆς στυγερῆς κλαύσατε παῖδες,
Ὅτι Χριστὸν τὰ βροτῶν φῦλα γεραίρει.
Γόνος Ἰσραὴλ στενάζει
Ὁ νόμου σκιὴν γεραίρων,
Ὅτι τιμᾷ Χριστὸν ἔθνη.

Φλογερῷ μολόντι Χριστῷ
Ἱερῷ τυφλοὶ προσῆλθον
Πόδας ἀσθενεῖς τε χεῖρας·
Ὁ δὲ πᾶσι δῶκε ῥῶσιν.

Χαλεποὶ δὲ γνόντες ἔργα
Ἱερεῖς μέγιστα Χριστοῦ
Βρεφέων τε τερπνὸν ὕμνον
Ἱεροῦ μέσον κατεῖπον.

Ψῦθος ἐκμανῶς δονοῦντες
Ἐβόων ἄνακτι πάντων·
Ἀΐεις τί φασι παῖδες;
Ὁ δὲ, ναίχι, Χριστὸς εἶπεν.

Ψόφον ἐν γραφῇσιν οὔπω
Ἀνέγνωτε ταῖς λεγούσαις,
Στόμα νηπίων πρὸς αἶνον
Ὑπομαζίων ἀνοίξεις;

Στομάτων ἐξ ἀκάκων ᾄσματα Χριστῷ
Βρεφέων ὑμνοπόλων πᾶς βροτὸς εἴποι.
Στομάτων ἀπ' εὐρυμύθων
Βρεφέων φίλων τε Χριστῷ
Προςφέροιμεν αἰὲν ὕμνον.

Conf. Spicil. Rom. l. c. p. 75 seqq. — v. 17. *Θειοφόβοισι.* Sic emendavit Allat. Codd. *θεοφόβοισι.* — v. 84. *κέλευε* Codd. *κέλευσε.* — v. 109. *ὕμνον* Codd. *ὕπνον.*

XXIII.

Εἰς τὸ μυστικὸν καὶ θεῖον δεῖπνον τοῦ σωτῆρος Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ.

Ἄγε δὴ, λύρη με θείη
Ἐπὶ δεῖπνον ἄρτι θεῖον,
Ἵνα μυστικῆς τραπέζης
Ἅμα Δεσπότῃ μετάσχω.

Βοάαν γὰρ ἄρτι Χριστοῦ
Θεϊκὸν πάρεστι κάρτος
Τυπικοῦ νόμου τε τέρμα
Ὑπὸ Μωσέως γραφέντος.

Γονίμῳ γόνος Θεοῖο
Ἐν ὄρει πέλων ἐλαιῶν,
Ἱεροῖς ἔφη μαθηταῖς
Προλέγων ἄναξ τὸ μέλλον·

Δίδαγμα κρατεῖτε τοῦτο
Ὅπερ ἐμφανῶς διδάσκω,
Ὅτι δεύτερον μεθ' ἦμαρ
Γίνεται νόνου τὸ πάσχα.

Δεῖπνον ἐς ἀμναφόρον σπεύσατε πάντες
Μυστιφόροις καρδίαις κάρτα Θεοῖο.
Ἐμὲ δὲ φθόνῳ κακίστῳ
Πάϊν ἀνέρος λαβόντες
Ἱερεῖς, λεώς, πολῖται
Στερεαῖς νίφουσι βύρσαις.

Ζακότοις βαλοῦσι μύθοις,
Πτυέλῳ βρέχουσιν ὄψιν,
Πιλάτῳ δὲ συμμανέντες
Ἰκρίῳ κτενοῦσιν οἴτῳ.

Θανάτου δ' ἐγὼν ὀχῆας
Ἅμα καὶ πύλας ἀέξας,
Τὸν Ἀδὰμ λαβὼν τριταῖος
Ἀπὸ νερτέρων ἀνέλθω.

Ελλαπίνην ἁγίαν Χριστὸς ὀπάζει
Μωσαϊκῶν προβάτων δαῖτα πεδήσας.
Ἵνα δὴ νόμον τελέσσω,
Ὃν ἐγὼ πάλιν παρέσχον,
Πέτρε, νῦν ἴθι πρὸς ἄστυ
Ἅμα τῷ γόνῳ Σαλώμης.

Κατὰ τὴν πόλιν γεγῶσι
Νέος εὐθὺς ἀντιάζει
Κέραμον φέρων ἐπ' ὤμων
Γλυκεροῦ γέμοντα ῥείθρου·

Λιπαρῶν ποδῶν δὲ τούτου
Καλὸν ἴχνιον πατοῦντες,
Ἐπὶ τὸν δρόμον δραμεῖσθε
Ὅθι κεῖνος αὐτὸς ἔλθοι.

Μεγάρων τ' ἐρεῖτε πρώτῳ,
Ὅτ' ἔφην· τίς ἴσχεν οἶκος
Ὅθι μοι μολοῦντι πάσχα
Σὺν ἐμοῖς φάγω μαθηταῖς;

Ἀπὸ δαιτὸς θεϊκῆς πέμψατε Χριστοῦ
Βδελυρὸν καὶ προδίτην θᾶττον Ἰούδαν.
Νόμον ἐκμαθὼν δ' ἐκεῖνος
Τὸν ἐμὸν, τάχιστα δείξει
Ἀνώγαιον, ἔνθα θᾶττον
Ἱερὸν ποιεῖτε δεῖπνον.

Ξυνιόντες οἱ μαθηταὶ
Δράμον ὀξέως ἐς ἄστυ,
Ὅσα Χριστὸς εἶπεν εὗρον
Ὅσα Χριστὸς εἶπεν ἔρξαν

Ὁ Θεὸς δὲ σὺν μαθηταῖς
Κατὰ τὴν πρέπουσαν ὥραν
Ἐπὶ φαιδρὸν ἦλθεν οἶκον,
Ἐπάγων νόμῳ τὸ τέρμα.

Πρόβατον φαγὼν δὲ Μωσοῦ
Ὁ Θεοῦ τοκῆος ἀμνὸς,
Πρόβατον νόμου παλαιοῦ
Τέρας αὐτὸ θῆκε πάντων.

Μερόπων ὃς ποθέει Χριστὸν ἐς ἄκρον,
Ἀδόλως συμφαγέτω δεῖπνον ἐκείνου.
Ῥύσιον δὲ αὐτὸς ἄρνα
Μερόπων πόρεν γενέθλῃ,
Ἐνὶ μυστικῇ τραπέζῃ
Ἰδίην σφαγὴν τυπώσας.

Στεφανηφόρου δὲ δείπνου
Τότε δεσπότης ἀνέστη,
Προχέει τ' ἐς ἄγγος ὕδωρ
Ἀποθεὶς τὰ θεῖα πέπλα.

Τρυφεροὺς πόδας μαθητῶν
Παλάμαις ἔνιπτε θείαις,
Μετὰ λεντίου δὲ τούτους
Κατέμασσεν οὗπερ ἔσχεν.
Ὑπόδειγμα δοὺς βροτοῖσιν
Χθαμαλῶν φρενῶν πρὸς ὕψος,
Πάλιν ἐς τράπεζαν ἦλθεν
Ὑποδὺς ἑοὺς χιτῶνας.

Κἀμὲ τὸν ἐν κακίῃ, Χριστὲ, καθαίροις
Χείρεσι ταῖς θεϊκαῖς πάντα λοέσσας.
Φάος, ὡς κόμισσεν ἄρτον,
Ἐρέων δέδωκε μύσταις·
Τὸ δ' ἐμὸν φάγοιτε σῶμα
Ἐς ἁμαρτάδων καλύπτρην.

Χαρίεν δέπας κεράσσας
Τάδε τοῖσι δῶκε λέξας·
Τὸ δ' ἐμὸν πίοισθε αἷμα,
Τὸ ἁμαρτίας σκυλεῦον.

Ψόφον ἐς τοκῆα δόντες
Θεον ἐν λόγοισιν ὕμνον,
Ἐπὶ τὴν νάπην ἐλαιῶν
Ἅμα τῷ φάναι προῆλθον.
Ὦ πάθος, ὦ φιλίη, ἣν διὰ Χριστὸς
Σάρκα βροτοῖς ἰδίην ὤπασε δαῖτα.

Conf. Spicil. Rom. l. c. p. 79 seqq. — v. 13. *κρατεῖτε* Codd. *κράτιστε*. — v. 34. *παρέσχον* Codd. *παρέσχων*. — v. 43. *δραμεῖσθε* Codd. *δραμεῖσθαι*. — v. 47. *μολοῦντι* Codd. *μολοῦντα*.

XXIV.

Εἰς τὸν τίμιον σταυρόν.

Ἀσεβῶν χρόνος παρῆλθεν,
Ἀγαθὴ χόρευε πίστις,
Ἀθέων νέφος ἐδάσθη,
Κιθάρῃ μέλισδε χάρμην.

Βαβυλὼν βάραθρον οἷτος
Ἐφάνη βροτοῖσι πᾶσιν,
Ἀθέων φύουσα φύτλας,
Ἀνόμων τρέφουσα δήμους.

Γελόων βοῶ τὸν ὕμνον,
Θεὸν ἀξίως γεραίρων,
Ὅτι τὴν φίλην γαλήνην
Χρονίην δέδωκε κόσμῳ.

Δόμα γὰρ Θεοῦ γαλήνη
Τελέθῃ μέγιστον, ἣ δε
Θεϊκῷ σθένει μολοῦσα,
Θεϊκῷ κράτει κρατοῦσα.

Ἐφάνη Θεὸς κολάζων
Αἱ ἁμαρτάδας κακίστας,
Ἐφάνη Θεὸς σαώζων
Ἐλέῳ βρύων σὺν οἴκτῳ.

Ζόφος ἦν πάροιθε Μῆδος
Μερόπων γένη θερίζων
Δόρατι, ξίφει, βελέμνῳ,
Χαλεπωτάτῃ τε λύττῃ.

Θεϊκῷ χόλῳ στρατεύσας
Φλογερὴ πέφηνεν ἅρπη,
Διὸ καὶ πόλεις φλογίζει
Γλυκεροῖς ὁμοῦ πολίταις.

Ἱερὸν τρέπεσκεν ἄστυ,
Ὅθι Χριστὸς ἔσχε πότμον,
Ὅτι Χριστὸς αὐτὸν ἦγεν
Ἰδίην πτόλιν σκυλεύσας.

Κρατερὴν πτόλιν κρατήσας
Νεκύων ὅλην γεμίζει,
Ποταμῷ πυρὸς δὲ πᾶσαν
Ὁ θεήλατος ἐκβλύζει.

Λάβε καὶ ξύλον Θεοῖο,
Τοῦ Θεοῦ μέγιστον ὅπλον,
Τὸ βροτῶν κράτιστον ἔρκος,
Τὸ παθῶν φέριστον ἄλκαρ.

Μόνον ἐν πέτρῃ γὰρ ἔστη
Κρανίου Θεὸν προφαῖνον,
Μόρον εὐθέως κατέκτα
Ἅμα δαίμοσι κακίστοις.

Νενεκρωμένοις βροτοῖσι
Θανάτῳ, φθορᾷ κακίστοις,
Βροτέην κράτιστα βλύζει,
Θανάτου κράτος πατοῦσαν.

Ξύλον ἦν, πατὴρ ὀλέθρου
Ὅτ' Ἀδάμ τρύγησε βρῶσιν,
Ξύλον ἦν, φονεὺς ὀλέθρου
Ὅτε Χριστὸν ἔσχεν ἥλοις.

Ὅθεν ὡς πέδον γε Πάρθου
Ξύλον εἴσιδεν Θεοῖο,
Τότε Χοσρόην φονεύει
Ὀλοῶν κρατοῦντα Μήδων.

Πολέμῳ γὰρ ἦν γενάρχης
Ὁ κακὸς κακῶν ἀνάσσων,
Γλυκερῆς δὲ τῆς γαλήνης
Κρυερὸς πέλεν διώκτης.

Ῥᾷον ἐκ βίου κυλίσθη
Ὁ βίον κλόνοις ταράττων,

Ὁ φόνων τὰ πάντα πλήσας
Φονικοῖς ξίφεσσι πίπτει.

Σοφὸν ἰκρίον Θεοῖο
Τόδε τὸ τρόπαιον ἔστη
Κατὰ βαρβάρων βιαίων,
Κατὰ Χοσρόου κακίστου.

Τότε καὶ θάλος γαλή-
νης
Ἐπὶ γῆς προῆλθε πάσης
Πολέμων πατρὸς πεσόντος,
Γενέτου κλόνων δαμέντος.

Ὑπὸ δὲ κλυτῆς γαλή-
νης
Θεόθεν βροτοῖς μολούσης,
Μεγάλης παῖς τε Ῥώμης
Ἐπιτέρπεται κρατίστως.

Φόβον ἐκβαλὼν διώκτου
Ἀφόβως ἐσεῖδε πάτρην,
Ὁ φυγὼν πτόλιν τοκήων
Ὁρᾶται πάλιν πολίτης.

Χαρὰν ἰκρίου λαβόντες
Ἁγίου Θεοῖο παῖδες
Ἐς ἑοὺς τόπους μολοῦντες,
Ἐς ἑοὺς τρέχουσιν οἴκους.

Ψόγος ἐκνόμων ἑβραίων
Ἑὰς ἐς κάρας τρεπέσθω,
Ὅτι τὸ ξύλον Θεοῖο
Μόλεν εἰς πτόλιν Θεοῖο.
Σταυρὸς ἐς εὐσεβέων γαῖαν
ἀπήχθη,
Εὐσεβέων μερόπων χαίρετε
φῦλαι.

Conf. Spicil. Rom. l. c. p. 106 seqq. — v. 4. *χάρμην.* Codd. *χάρμη.* — v. 5. *οἶτος.* Codd. *οἶτο.* — v. 37. *λάβε.* Codd. *λάβην.* — v. 42. *προφαῖνον.* Codd. *προφαίνων.* — v. 45. *νενεκρωμένοις.* Codd. *νενεκρωμένος.* — v. 47. *βροτέην.* Codd. *βροτῆν.* — v. 53. *πέδον.* Codd. *πέδων.* — v. 89. *ἀπήχθη.* Codd. *ἀφήχθη.*

XXV.

Εἰς τὴν ἀνάληψιν καὶ εἰς ἑαυτόν.

Ἀπὸ δὲ κλυτοῦ διαύλου
Ἀναβὰς ἐκεῖνα βάθρα
Ἐλαῶν ὄρος φιλήσω,
Ὅθεν ἐς πόλους ἀνῆλθεν.

Βάθος ἄπλετον δὲ θείας
Σοφίης, δι' ἧς με σῶσεν,
Λίαν αἰνέσας, ἐκεῖσε
Ταχέως πάλιν δρομήσω.

Γεραροὺς ὅπου τὰ θεῖα
Ἑτάρους ἐμυσταγώγει,
Κρυφίους βυθοὺς φαείνων
Ὑπὸ τὸ στέγος γενοίμην.

Διὰ τῆς θύρης μεγίστης
Ἐπὶ βαθμίδας προήκων,
Πόλιος δύσει προσούσης
Ἁγίης ἴδοιμι κάλλος.

Εὐπρεπίην ὁράαν ὡς γλυ-
κὺ σεῖο
Οὔρεος ἐξ ἐλαῶν, ἄστυ
Θεοῖο.
Ἐπὶ Λαζάρου δὲ τύμβον
Τετραημέρου νεκροῖο
Διαβὰς, ἄνακτι δόξαν,
Ὅς ἔγειρε τόνδε, δοίην.

Ζῆσιν ἱμέρου δὲ θείου
Φρεσὶν ἰσχύνων, ἱκοίμην
Τάχα Βηθλεὲμ πολίχνην
Ὅθι παντάναξ ἐτέχθη.

Ζαθέου τετραστόου δὲ
Ἄγαν ἐκπρεποῦς τρικόγχου
Μέσον ἐσμολῶν ἐκείνου
Ἱεροῦ δόμου χορεύσω.

Βηθλεὲμ εὐαγέος κάλλεα δέρκειν
Χριστὸς ὁ κεῖθι φανεὶς πάντα με νεύσοι.
Θαμὰ χρυσοφεγγέας τε
Ὁρόων στύλους τε μούσης
Μάλα καλλίτευκτον ἔργον,
Ἀχέων νέφους λαθοίμην.

Ἰδέην ἄνω δὲ βλέψω
Καλάθωσιν ἀστροφεγγῆ,
Ἀπὸ καλλιεργίας γὰρ
Χάρις οὐρανοῖο λάμπει.

Κατὰ τὸ σπέος γενοίμην,
Ὅθι παντάνασσα κούρη
Τέτοκε βροτοῖσι ῥύστην
Θεὸν ἀτρεκῶς βροτόν τε.

Λιπαρῇ πλακὶ προθήσω,
Θεὸν ᾗ βρέφος δέδεκτο,
Βλέφαρα, στόμα, κράνος τε
Κομίσαι χάρισμ᾽ ἐκεῖθεν.

Μεγακυδέος δὲ φάντης
Ἐπὶ προσκύνησιν ἔλθω,
Ἄλογος δι᾽ ἧς ὑπάρχων
Ἐτράφην λόγῳ Θεοῖο.

Νεκύων ἐς ἄντρον εἴξω
Βρεφέων ἅμα σφαγέντων
Γενέσει λόγου βροτείῃ,
Ἡρώδου φθόνῳ μανέντος.

Ὦ βασίλειε πάτερ, λῷστε νοήμων
Αἴθε τεὴν κορυφὴν ἄρτι φιλοίην.
Ξυνετῷ λεῷ τε κλήρῳ,
Ὁσίοις ἐπισκόποις τε,
Μοναχῶν προηγέταις τε
Ἐμὸν εἴσιδω πατριάρχην.

Ὃς ἐμοῦ γένους ὑπάρχει
Ἅγιον φέριστον ἔρνος,
Βασίλειος ὁ πραΰφρων,
Ὁ λίαν σεβάσμιός μοι.

Οἶσθα, μάκαρ, τίνος οὖν εἵνεκα, σεῖο
Μνήσατο θυμὸς ἐμος τῷ δέ γε χρόνῳ.
Πραπίδων ἐμῶν τὸ χάρμα,
Τεκέων ἐμῶν τὸ κάλλος,
Σοφίης ἄγαλμα, ποῦ σε
Σωφρόνιε σῶφρον εὕρω;

Σωφρονίου γεραρὴν ὄψιν ἰδοίμην,
Ὃν ποθέω γοόων ἤματα πάντα.
Ῥόος ὀμμάτων ἐμοῖο
Δακρύων ἀποδακρύει νῦν,
Ὅταν ἐς λογισμὸν ἔλθω
Ταχέως ἑκὰς στενάζων.

Σὲ γὰρ ὁ φίλος τέκος τε
Πατέρα, σχέσει τε θείᾳ,
Ἐθέμην παρηγορεῖν με,
Διέπειν βίῳ τε γῆρας.

Τίπτε λάθου, γλυκερὸν τέκνον, ἐμεῖο
Ἐν μοναχοῖς, ὃν ἔθου παῖδα κομίζειν;
Τὸ πολύπλοκον δὲ πλῆθος
Ὅτε συμφορῶν συνέσχεν,
Τότε σοι φίλ᾽ ἐτερίσθην
Πολιὴν ἔχων ἀνιγρήν.

Ὑλικὸν βίον λιπὼν γὰρ
Ἅμα σοι βιοῦν τε θνήσκειν

Ἐφάμην τρόπῳ δὲ ποίῳ,
Θεὸς οἶδεν, ᾧ διέστην.

Φρονέων πάλαι γὰρ ὄν-
τως
Ἐνὶ φιλτάτῃ γε Λαύρῃ
Μέχρι τέρματος διάξειν
Ἔωθεν κλόνοιο κόσμου
. . . .
. . . .
. . . .
Στὰς δ' ὅσας ὑπέστην.

Ψαμάθου πλέον γὰρ
εὕροις
Κραδίης ἐμῆς ἀνίας,
Ἔδαφος διάβροχόν τε
Ἔτι δακρύοις ἐμοῖσι.

Τόγε μὴν ἄεισμα τοῦτο
Ἀνέθηκά σοι ποθοῦντι,
Καθ' ὅλην φυλὴν Συρίης
Ἐμέθεν πόνους ἀείδειν.

Conf. Spicil. Rom. l. c. p. 109 seqq. — v. 3. Ἐλαῶν. Codd. ἐλαιῶν. cf. v. 18. — v. 26. ὅθι. Codd. ὅθεν. — v. 34. τε μούσης. Codd. τεμούσης. — v. 42. ὅθι. Codd. ὅθεν. — v. 53. εἶξω. Sic codd. Matr. legi vult ἥξω. — v. 62. εἰσιδω. Codd. εἰς ἴδω. — v. 78. Codd. ἔκας ταχέως. — v. 106. φυλήν. Sic emendavit Matranga, codd. φίλην.

XXVI.

Εἰς τὸν ἅγιον Παῦλον, τὸν ἀπόστολον.

Ἀρετῶν μέλιττα Παῦλε
Ἐπὶ σοὺς ἄγοις με σίμ-
βλους,
Ἵνα σὸν μέλι τρυγήσας
Ἱερῆς τροφῆς μετάσχω.

Βασιλεῦ μελῶν προφῆτα,
Κιθάρην δίδου τινάσσειν,
Ἀρετῶν ὅπως γενάρχην
Μέλεσιν σοφοῖσι μέλψω.

Γένος Ἀβραὰμ φυτεύει
Ὁ μέγας Θεοῖο λάτρης,
Κιλίκων τρέφουσι Ταρσοὶ
Ἐπὶ γῆς φανέντα Παῦλον.

Δρόμον ἐκ βρέφους ὁ-
δεύων
Ἁγίων σοφῆς γενέθλης,
Ἰδίην ἀφῆκε πάτρην,
Πατέρων πόλιν γενεήν.

Ῥίζα φιλευσεβίων ἔκλεο
Παῦλε,
Ἐν χθονὶ τετραπώρῳ γεί-
ναο μόσχους.
Ἐδιδάσκετο προθύμως
Ἱερὰς γραφὰς τοκήων
Ἱερουσαλὴμ κατ' ἄστυ
Ὑπὸ τῶν σοφὰ φρονούν-
των.

Ζαθέους νόμους τελέσ-
σας
Φαρισαῖος ἦν ἐς ἄκρον,
Ὅθεν εὐσεβῶν ὑπῆρχεν
Ἑτέρων πλέον διώκτης.

Θαλάμους δὲ τοὺς δι-
καίων
Ἀγρίως ὅλους ἐπόρθει,
Ἁγίους δὲ τοὺς ἐν ἄστει
Ἐδίδου φέρων φονεύειν.

Ὦ φρενὸς, ὦ μανίης ἧς
πέλε Παῦλος
Ὅττι σοφῶν ἀγέλην πᾶσαν
ἀνῄρει.
Ἱερὴν ἔβαλλε πίστιν
Μανικὸς πέλων διώκτης,
Κατὰ τὰς πόλεις δὲ βαίνων
Ἁγίους κόλαζε πάντας.

Κακὰ γράμματα γρα-
φέντα
Λάβεν ἐκ κακῶν προέδρων,
Ἁγίους ὅσους Δαμασκὸς
Τρέφε δεσμίους κομίσσαι.

Λόγος ἐκ πόλου προκύ-
ψας,
Ὁ λόγῳ πόλον κυλίνδων,
Ἅμα φωτὶ παμμεγίστῳ
Τρέπεν ὡς τάχιστα Παῦ-
λον.

Μέσον ἡμέρας δὲ λάμ-
ψας,
Φάος ὀμμάτων ἀπούρας
Κατὰ γῆν τάνυσσε Σαῦλον
Κατὰ γῆν κακῶς μανέντα.

Χριστὸς ὅλων μεδέων σὺν
γενετῆρι
Παῦλον ἀπ' ἀντιβίων τεύ-
ξατο λάτρην.
Νοέειν δὲ τὸν βαλόντα
Ὁ βαλὼν θέλων τυπέντα,
Λέγεν ἡμέρως Ἰησοῦς
Ἐπὶ γῆς πεσόντι Σαύλῳ.

Ξένον εὐσεβοῦσι ῥέξεις
Ἐμὲ, Σαῦλε, νῦν διώκων.
Ἀπαμείβεται δὲ Σαῦλος·
Λέγε μοι, τίς αὐτὸς ἔσκες;

Ὁ Θεὸς πάλιν βοήσας
Φάτο πρὸς λαλοῦντα Σαῦ-
λον,
Τελέθω, λέγων, Ἰησοῦς
Ἀπὸ Ναζαρὲθ πολίχνης.

Πάλιν ὁ φέρων τὰ πάντα,
Τελέθω ὃν ἐκδιώκεις,
Βαρύ σοι πόδας τιταίνειν
Ἀταλοὺς πρὸς ὀρθὰ κέντρα.

Ἀχλύος ἠερίης ἔμπλεε
Παῦλε
Εἰπὲ, πόθεν στεροπαῖς πᾶ-
σι φαείνεις;
Ῥυπαρὸν ζόφον κομίζων
Βλεφάροις, ἐς ἄστυ βαίνεις,
Ὅθι σοι πάλιν λαλήσω,
Ἅ σε, Παῦλε, δεῖ τελέσσαι.

Σὺ γὰρ ἔθνεσιν φαείνοις
Θεϊκὸν φάος διδάσκων,
Σὺ τὸν Ἰσραὴλ ἐλέγξεις
Γενεὴν ἄπιστον οὖσαν.

Τότε δὴ μαθὼν ὁ Σαῦ-
λος,
Ὅτι Χριστὸς αὐτὸς ἕλκει,
Ἑτάρων χέρας κρατούντων,
Ἅτε τυφλὸς, ἠκολούθει.

Ὑπνονυκτίῳ δὲ λήξει
Ὄναρ ἐμφανεὶς ὁ Χριστὸς
Ἀνανίαν ἄνδρα θεῖον
Ἐπὶ Σαῦλον εὐθὺ πέμψεν.

Φεγγοτόκον σκοτίην ἔδρα-
κε Παῦλος
Ὄφρα βροτῶν ζοφερὰν ἀ-
χλὺν ἀπάξοι·
Φοβεροῖς λόγοισιν εἴξας
Ἀνανίας ἐς διώκτην,
Δράμεν ὄμμασιν κομίζων
Τὸ διπλοῦν διπλοῖσι φέγγος.

Χαλεπὸν ζόφον δὲ ῥίψας
Κραδίης κόρον τε Σαῦλος,
Λοετρὸν δὲ θεῖον ἐνδὺς
Χάριτος Θεοῦ γεμίσθη.

Ψόγον ἀθλίων Ἑβραίων
Ὅλον ἀνδρικῶς πατήσας,
Συνέχευε λυγρὸν ἔθνος
Τριάδα βροτοὺς διδάσκων.
Φωτὸς ἀειγενέος, Παῦλε, γεμίσθης
Φωτογόνους δαΐδας πᾶσιν ἐρίζεις.

Conf. Spicil. Rom. l c. p. 83 seqq — v. 31. *ὦ φρενός.* Sic emendavit Leo Allatius, cod. Barb. *ὦ φρένες.* — v. 70. Alii *βαίνοις.*

XXVII.

Εἰς Ἰωάννην τὸν Θεόλογον.

Ἁγίων γένος προέλθοι
Ἁγίῳ γέρας κομίζον,
Ἀγάμων φάλαγξ βοήσοι
Ἀγάμῳ φέριστον ὕμνον.

Βδελυρὴν ἔγωγε γλῶτταν
Φορέων, ῥυπῶν τὰ χεῖλη
Ἀπορῶ γόνῳ γε βροντῆς
Καθαρὸν τὸν αἶνον ᾄδειν.

Γονέων πάϊς φαάνθη
Ἱερῶν κλυτῆς τε ῥίζης,
Ζεβεδαῖος αὐτὸν ἥρως
Σαλώμη τε παῖδα τίκτον.

Δόμον ἔσχε πλωτὸν ἄνδρα
Ὁ πατὴρ φίλην δ᾽ ἄγρην,
Σαλώμη τεκοῦσα Χριστοῦ
Κλύε σύγγονας Θεοῖο.

Ἰαχῆς οὐρανίης, ὄβριμε κοῦρε,
Στομάτων ἡμετέρων δέχνυσο δῶρα.
Ἐκάλει δὲ καὐτὸς ἔνθεν
Τὸν ὅλων ἄνακτα θεῖον
Ὁ πάϊς, διότι τέκνον
Σαλώμης ὑπῆρχε θεῖον.

Ζαθέου γὰρ ἦν Ἰωσὴφ
Σαλώμη τόκος σαόφρων,
Ὅς ἐμοῦ Θεοῖο Χριστοῦ
Γενέτης μόνον καλεῖτο.

Θεὸς οὖν πέλων ὁ Χριστὸς,
Ἐπέχων φύσιν τε πᾶσαν,
Ἐπὶ χεῖλος ἦλθε λίμνης
Βροτὸς οἷά τις προλάμπων.

Φωσφόρε παρθενίης, φωσφόρε μύθων,
Ἡμετέρῃ κραδίῃ φέγγος ἰάλλοις.
Ἰαχὴν μίαν προπέμψας
Δυάδα κλυτὴν ἀγρεύει,
Ἰάκωβον ἐσθλὸν ἄνδρα
Ἀγαθὸν κάσιν τε τούτου.

Κράτος ὡς ἴδον Θεοῖο
Προσέβαινον οἱ καλοῦντι,
Πατέρος σέβας λιπόντες,
Κάλαμον, σκάφος, σαγήνην.

Λόγος ἐκλογὴν τελέσσας
Δέκα καὶ δυῶν μαθητῶν,
Φιλέεσκε τόνδε μᾶλλον
Ἁγίων ὅλων ἑταίρων.

Μεγάλην χάριν δὲ βάλλεν
Φιλία φίλοις προσώποις,

Ἐνὶ δε φρεσὶν φιλάγγοις
Θεϊκὴν ἔχευεν αἴγλην.

Σοφίης οὐρανίης μεστὸς ὑπάρχων,
Ἐπέων οὐρανίων αὐλὸς ἐτύχθης.
Νόον ἔνθεον φοροῦντα
Καθαρήν τε σάρκα, τοῦτον
Ἀφανῶν ποιεῖτε μύστην,
Ὁ Θεὸς λόγος διδάσκων.

Ξένα δεῖξε πλεῖστα τοῦτον
Φιλέων ἄναξ δικαίως,
Ἐπὶ καρδίην ταθῆναι
Ἰδίην παρέσχε μούνῳ.

Ὅτε δ' ἰκρίῳ προσῆλθε
Κασίγνητον αὐτὸν ηὔδει,
Μαρίην ποιῶν τεκοῦσαν,
Μαρίῃ γόνον προσάπτων.

Πάλιν ἀγλαοῖο Πέτρου
Μόρον ἐκμαθεῖν ποθοῦντος
Παρὰ δεσπότου γε κείνου,
Μόρον ἐκφανῶς καλύπτει.

Θειολόγου σοφίῃ κόσμος ἐρύσθη,
Δαιμονικῆς μανίης φάσματα ῥίψας.
Ῥέθεσι ξύλῳ κρεμασθεὶς
Ὁ λόγος παθιόν τε πάσχων,
Λέγε παρθένῳ τεκούσῃ,
Λέγε παρθένῳ μαθητῇ.

Σέθεν, ὦ γύναι, καλείσθω
Γόνος ἁγνὸς οὗτος ἔνθεν,
Σὺ δὲ μητέρα κρατίστην
Καλέοις ἐμὴν τεκοῦσαν.

Τότε δὴ τότε κλυτόφρων
Ἐς ἑὸν κόμιζεν οἶκον
Ἀγανὴν Θεὸν τεκοῦσαν,
Ἰδίην ποιῶν τεκοῦσαν.

Ὑπὸ Πάτμον ᾧ δ' ἐτύχθη
Θεόπαις νόμοισι φύτλοις,
Ἁγίους τόπους ἐάσας
Ἀσίης ἐπῆλθε χῶρον.

Βροντογενῆ Θεὸν οὖν ὄλβιον εἴπω
Τοὔνεκα θειοτόκου κοῦρος ἐτύχθη.
Φορέων σθένος Θεοῖο
Ἔφεσον κίχησεν ἄστυ,
Ὅπερ Ἄρτεμις κακίστη
Δνοφερῇ πλάνῃ κατεῖχεν.

Χέρα καρτερὴν δὲ τείνας
Ἀπάτης νεὼν καθεῖλεν,
Βδελυρὸν δὲ τρέψε φάσμα
Ἀσίηθεν ὡς πυρίπνους.

Ψεκάσιν Θοοῖο μύθων
Ἀπὸ χειλέων ψεκάζων
Φλόγα δαιμόνων ἀμέρδει,
Χθονίων γένος δὲ σώζει.

Ἀσίδος εὐγυάλου λύτρον ἀείσω,
Θειολόγου δυνάμει κῦδος ἀγείρων.

Conf. Spic. Rom. l. c. p. 90 seqq. — v. 2. *κομίζον*, Codd. *κομίζων*. — v. 4. *φέριστον*. Codd. *φέρεις τὸν*. — v. 16. *σύγγονας*. Matr. legi vult *συγγόνους*. — v. 17. *ἰαχιῆς*. Leo Allatius et Matranga *ἰαχῆς* legi volunt. — v. 34. *ἀγρεύει*. Codd. *ἀγορεύει*. — v. 39 *Πατέρος*. Sic cod. Barb. Leo Allat. *πατρός*. — v. 52. *τοῦτον*. Alii *τούτων*. — v. 82. Versus, quin etiam tota stropha obscura

est, et *φύτλης* scribendum puto. Ceteroqui ferme certum habeo, hiatum heic inesse ob amanuensis incuriam, qui huius strophae versus cum aliis confuderit. Nam neque narrationis ordo neque mens auctoris lucide percipitur. Conf. Not. Matrangae ad h. l.

XXVIII.

Εἰς τὸν ἅγιον πρωτομάρτυρα Στέφανον.

Ἀρετὴν, ἀγῶνα, νίκην
Στεφάνου κλυτοῦ λιγαίνω,
Σὺν ἀποστόλοις καλέσσω
Στίχα μαρτύρων χορεύειν.

Βασιλεῖ Θεῷ γὰρ οὗτος
Μετ' ἀποστόλους στρατεύθη,
Ἐνὶ μάρτυσιν δὲ πρῶτος
Στεφάνοις ἔδησε κόρσην.

Γραφικῶς ὅθεν βοήσω,
Στεφάνου τὸ διττὸν εὖχος
Ὅτ' ἀποστόλοις συνῆπται,
Ὅτι μαρτύρων προλάμπει.

Διό μιν Θεοῖο λάτρην
Ταχέως τέθηκε πρῶτον
Ἁγίων χορὸς μαθητῶν
Μέγαν ἐνθέως σκοποῦντος.

Στεφάνου τοὺς ἀέθλους ὅστις ἀείδει
Κραδίην εὐφροσύνης οἶδε κορέσσαι.
Ἐρατῆς γέμων Θεοῖο
Χάριτος βίης τε πλήρης,
Στέφανος λεῷ τε πρόσθεν
Τεράτων ἔτευχε πλῆθος.

Ζοφερῷ φθόνῳ τυπέντες
Τινὲς ἀγρίων Ἑβραίων,
Περὶ δογμάτων συνείρειν
Στεφάνῳ λόγους ἐπῆλθον.

Ζάκοτον γὰρ ἔσκεν ἔθνος
Βελίου στόλος κακίστου
Φαρίης τε καὶ Λιβύσσης,
Ἀσίης τε καὶ Κιλίσσης.

Θαμινοὺς λόγους ὁ μάρτυς
Κραδίης σοφῆς ἰάλλων,
Φθονεροὺς δίωκε κείνου
Νέφος ὡς πνοαῖς ἄηται.

Στεφάνῳ θεσπεσίῳ στέμματα πλέξω
Γραφικῶν ἐκ καλύκων ἄνθεα δρέψας.
Ἱεροῖσι λόγοις νίκην
Στεφάνου τάχιστα δόντες,
Φέρον ἀνέρας κατ' αὐτὸν
Πατέρα πλάνης βοῶντας.

Κατὰ γὰρ Θεοῦ τοκήων
Κατὰ Μωσέως τε θείου
Λέγον ὕβρεων ἀκοῦσαι
Στεφάνου σοφοῦ λαλοῦντος.

Λόγον εὐτόνως βοῶντες,
Ἀπάτης λεὼν λαβόντες
Ἱερεῖς τε τοὺς κακίστους,
Στέφανον τάχος κατέσχον.

Μανίης μέθῃ φλεγέντες
Φέρον ἐς κρίσιν θεόπτην
Ἀδικωτάτων θοώκων
Ἅμα μάρτυσιν κακίστοις.

Οὔνομά σοι Στέφανος σεπτὸν ἐτύχθη,
Τοὔνεκεν εὐσεβίης στέμμα κομίζεις.
Νομίμου νόου τραπέντες
Ἁγίου λέγον πυθέσθαι,
Ὅτι Χριστὸν εἶπε νηὸν
Σολομῶνος ἐκκαθέλκειν.

Ξένατ' Ἰσραὴλ παρέξειν,
Νόμον, ἐντολὰς, κελεύσεις,
Τὰ δὲ Μωσέως ἀμείψειν
Ἅτε μὴ σοφῶς τεθέντα.

Ὁ λεὼς δ' ἅπας ἐκεῖνος
Ἅμα ποιμέσι πλανήθη
Κακομαρτύρων ἀκούσας
Στεφάνῳ προέσχε θείῳ.

Προσέχον δὲ πρὸς πρόσωπον
Θεϊκὴν ῥέουσαν αἴγλην,
Χάριν ἀγγέλου γὰρ ἔσχεν
Στεφάνου πάναγνος ὄψις.

Ἁγίων σε Στέφανε πρῶτον ἀείδω,
Ὅτι Χριστοῦ τὸ πάθος πρῶτος ὑπέστης.
Ῥαθάγῳ φρένας δονήσας
Ἱερεὺς ὅλων ὁ προὔχων
Τὰ κατηγόρων ἀλιτρῶν
Στεφάνῳ κέλευσε λύσιν.

Στόμα δ' εὔλαλον διοίξας
Λέγεν εὐκόλως ὁ μάρτυς,
Ὅτι Χριστὸν εἶπε Μωσῆς
Ἰδίου νόμου τὸ τέρμα.

Τό περ ὔμμες ἀγνοοῦντες
Θεῶν ἀντίον ποιεῖσθε,
Διὸ Χριστὸν ὡς τοκῆες
Ἀσεβῶς θεοκτονεῖτε.

Ὑπὸ πνεύματος δὲ θείου
Πόλον ἐς τὸ ὄμμα πέμπει,
Διὸ Χριστὸν αὐτὸν ἥρως
Ἴδε δεξιῶν τοκῆος.

Μαρτυρικῆς στρατιῆς ἀρχὸς ἐτύχθη
Εἵνεκεν εὐσεβίης, εἵνεκα θάρσους.
Φανερὸν δὲ πᾶσι τεύχων
Λέγεν οὐρανὸν διοῖχθαι,
Ὁράαν δ' ἄνακτα Χριστὸν
Πατρὶ δεξιῶν συνόντα.

Χόλος ἄγριος δ' ἐτύχθη
Κατὰ μάρτυρος παροῦσιν,
Ὅθεν αὐτὸν ἐκδραμόντες
Λιθάκων ἔβαλλον ὄμβρῳ.

Ψόγον ἤτεεν ὁ μάρτυρ
Σὺν ἁμαρτίῃ τε λύττης
Ἀκάκως ἑοῖς φονεῦσι
Θεὸν εὐμενῶς ἔασαι.

Ψιθύρων δὲ, Χριστὲ, λέξε,
Ἐμὸν ἄρτι πνεῦμα δέξαι·
Γόνατα χθονὶ προσάψας
Πόλον ἐς τὸ πνεῦμα πέμπει.

Στέφανε Χριστοφόρε, Χριστὸν ἐμῇσιν
Λιτανεύων κακίαις ἵλαον ἔρδοις.

Conf. Spicil. Rom. l. c. p. 94 seqq. — v. 16. σποκοῦντος. Sic codices. Matranga ausus est hanc vocem in accusativum σκοποῦντα convertere. — v. 32. Cod. Barb. σοφῆς. Alii σοφίης. — v. 88. Codd. τοκῆες. — v. 98. Codd. ὄβρῳ. — v. 101. φονεῦσι. Codd. φονεῦσαι.

XXIX.

*Εἰς τὸν κύριον Παῦλον τὸν κανδίδατον καὶ Μαρίαν τὴν μητέρα αὐτοῦ κοιμηθεῖσαν * ἐν κυρίῳ.*

Παῦλος.

Ἀγαθοῦ πεσόντος ἕρκους,
Μαρίης ἐμῆς τεκούσης,
Τίνα τὸν γόον τελέσσω;
Τίσι δακρύων ῥεέθροις;

Τίπτε τεὸν, Μαρίη, κάλλιπες νῆα
Ποντοπορεῖν βιότου κύματα μοῦνον;
Βλαβεραὶ πνέουσιν αὖραι
Ἀφ' ἁμαρτάδος φαράγγων,
Βιότου σκάφος βροτοῖσιν
Ὑποπόντιον ποιοῦσαι.

Γνόφος ἔσχατος κακοῖσι
Ἀφ' ἁμαρτάδων ὁμίχλης
Ἀποτίκτεται προβαίνων
Βίον ἐσχάτως ταράττειν.

Διὸ νῦν ἐμοί γε Παύλῳ
Βιότου πλέοντι πόντον
Ἐδέχθη γνόφος, θυέλλη
Ταραχοὺς τροφὰς κομίζων.

Μαρία.

Ἐδάης ἅπαντα, τέκνον,
Ὅσα γῆς ὕπερθεν ἕρπει
Ὅτι περ νόμοισι φύτλης
Θανάτου φθοραῖς συνῆπται.

Χριστὸν ἄγων βιότου σύμπλοον ἅλμης,
Χείματος οὐ τρομέεις ἔντρομον αὔρην.
Ζυγὸν ἐνδέδωκε πᾶσιν
Ὁ πάλαι Θεὸς ποιήσας
Ἀπὸ γῆς φύσιν λαβοῦσιν
Ἐπὶ γῆν πάλιν βαδίζειν.
Θεὸς οὖν ὁ ταῦτα τεύξας
Ἐμὲ τὴν πάλαι γεγῶσαν
Θανέειν κέλευσεν, ἄρτι
Φύσεως νόμους τελοῦσαν.

Παῦλος.

Ἰαχὴν ἴαλλε, μῆτερ,
Μέγα μοι τρυγῶντι πένθος
Ἀχέων ὅπως τὸν ὄγκον
Ἀπ' ἐμῶν φρενῶν σκεδάσσω.
Ἀσπίδος ἡμετέρης σεῖο πεσούσης,
Ἀντιβίων με δέος δάμνα βελέμνων.

Μαρία.

Κραδίης στέρησιν οἴμοι
Φίλε παῖ τεὴν ἀρείην
Σθένος οὐκ ἔχει κομίζειν
Ἐσαεὶ κακῶς στροβοῦσαν.

Λόγον ἐκτεκεῖν συνῆθε
Καθαρὸν νέφος ἀνίης,
Διὰ σὸν μέγιστον ἄλγος
Μέρος ἡ τάλαινα λεῖψεν.

Παῦλος.

Μερόπων κάκιστα τόσσα
Πάθεν οὐδὲ εἷς ἁπάντων,
Διό με στόνος δαμάζει
Βιότου κλόνον σκοποῦντα.

Μαρία.

Νόον ἐς Θεὸν τιταίνων,
Γόνε, τὸν γόνον Θεοῖο
Τὸν ὅλων καλῶν νομῆα
Νοεροὺς λύκους ἀλύξοις.

Τεῖχος ἔχεις κρατερὸν, γοῦνε, τεκούσης
Χριστὸν, ὃς ἀντιβίων ἔθλασε κόρσας.

Ξένα δόγματα βδελύττου
Ἅμα τοῖς κακοῖς τοκεῦσιν,
Ὅσα περ δόμου Θεοῖο
Ἀπελαύνεται νομεῦσιν.

Ὅλος εὐσεβὴς φαείνου
Κραδίην σοφῶν καθαίρων,
Θεὸν ἀξίως γεραίροις
Πραπίσιν, λόγοισιν, ἔργοις.

Πολιοῖς γένοιο ῥάβδος,
Ἀπορουμένοισιν ὄλβος,
Νοσεροῖς ἄκος προλάμποις,
Ἀδικουμένοισιν ἕρκος.

Παῦλος.

Ῥυπαρῶς ἀεὶ βοώσας
Ῥυπαρὸν φέρω τὸ βλέμμα
Ὅθεν ἐς Θεὸν νοῆσαι
Ἀπορῶ τοῦ σοῦ γε θάρσους.

Ἐκ μακάρων στονόεις Παῦλος ἐτύχθην,
Μῆτερ ἐμὴ σταθερὴ, σεῖο θανούσης.
Σὺ δὲ δὴ πάρος τεκοῦσα
Ἐπὶ γῆς ἐμοὶ παροῦσα,
Πέλες ἄγκυρα κρατίστη
Θεὸν ἵλεω ποιοῦσα.

Τὰ σὰ γὰρ φέριστα πάντα
Βίος εὐσεβὴς θεόφρων,
Καθαραὶ λιτῶν πορεῖαι
Ἐμὲ πρὸς Θεὸν συνῆπτον.

Ὑπὸ δὲ σκέπην μεγίστην
Τελέων τεῶν λιτάων,
Θεὸν εἶχον εὐνοοῦντα,
Βίον εἶχον εὐδρομοῦντα.

Παῦλος ἐγὼ στονόεις πῶς ἐφάνθην,
Μῆτερ ἐμὴ γλυκερὴ, σεῖο θανούσης;

Μαρία.

Φάος εἰσορᾶν Θεοῖο
Ποθέειν ἔχειν τε θάρσος,
Φίλε παῖ, φίλον Θεοῖο
Ἱερὸν βίον διώκοις.

Οὐρανίης Τριάδος πάγκλυτον εὖχος,
Κοῦρε, σὲ πὰρ χθονίοις ὄντα σαώσοι.
Χαρίης Θεῷ φανήσῃ
Ἀπὸ πράξεων ἀλιτρῶν
Ἐπὶ θέσκελον διαίτην
Πάλιν ἐστιῶν προθύμως.

Ψόγον εἰ φύγοις δὲ φλαῦρον
Τὸ ἁμαρτάδων ὀπηδὸν,
Θεὸν εἰσίδοις ἀπαύστως
Ἐπὶ σὸν βίον σκοποῦντα.
Ἀθανάτου Τριάδος παγκρατὲς ἔρμα
Ἐκ θανάτου σε λυγροῦ, κοῦρε, σαώσει.

Conf. Spicil. Rom. l. c. p. 121 sqq. — * *κοιμηθεῖσαν*. Sic emendavit P. Matranga. Codd. *κοιμηθέντας*. — v. 8. Codd. *ἀπ'*. — v. 12. Codd. *ἀπ'*. — v. 14. Cod. Barb. *ἐσχάστως*. — v. 16. Codd. *πνέοντι*. — v. 20. Codd. *γῆ*. — v. 40. Codd. *φιλόπαι τε ἦν*. — v. 42. Codd. *στροβοῦσα*. — v. 43. Codd. *συνήθη*. — v. 60. Codd. *δομεῦσιν*. — v. 79. Codd. *φέρεις τά*. — v. 98. Codd. *ὀστέων*.

F.

Andreas Cretensis.

XXX.

Εἰς τὸ Χριστοῦ γενέσιον.

Εὐφραίνεσθε δίκαιοι·
Οὐρανοὶ ἀγαλλιᾶσθε·
Σκιρτήσατε τὰ ὄρη,
Τοῦ Χριστοῦ γεννηθέντος.
Παρθένος καθέζεται,
Τὰ Χερουβὶμ μιμουμένη,
Βαστάζουσα ἐν κόλποις
Θεὸν λόγον σαρκωθέντα·
Ποιμένες τεχθέντα δοξάζουσι·
Μάγοι τῷ δεσπότῃ δῶρα προςφέρουσιν·
Ἄγγελοι ἀνυμνοῦντες λέγουσιν·
Ἀκατάληπτε κύριε, δόξα σοι.

Ὁ πατὴρ εὐδόκησεν
Ὁ λόγος σὰρξ ἐγένετο,
Καὶ ἡ παρθένος ἔτεκε Θεὸν ἐνανθρωπήσαντα·
Ἀστὴρ μηνύει·
Μάγοι προςκυνοῦσι·
Ποιμένες θαυμάζουσι καὶ ἡ κτίσις ἀγάλλεται.

Θεοτόκε παρθένε, ἡ τεκοῦσα τὸν σωτῆρα,
Ἀνέτρεψας τὴν πρώτην κατάραν τῆς Εὔας,
Ὅτι μήτηρ γέγονας τῇ εὐδοκίᾳ τοῦ πατρὸς,
Βαστάζουσα ἐν κόλποις Θεὸν λόγον σαρκωθέντα.
Οὐ φέρει τὸ μυστήριον ἔρευναν,
Πίστει μόνῃ τοῦτο πάντες δοξάζομεν,
Κράζοντες μετά σου, καὶ λέγοντες·
Ἀνερμήνευτε κύριε, δόξα σοι.

Vide: Andreae orationes, selectique Canones et Triodia ed. Francisc. Combefisius Parisiis 1644. fol. p. 334.

XXXI.

Εἰς τὸ ἀπόδειπνον.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω,
Καὶ ἀνυμνήσω Χριστὸν,
Τὸν ἐκ παρθένου σαρκὶ
Ἐπιδημήσαντα.

Συνέλθωμεν τῷ Χριστῷ,
Πρὸς τὸ ὄρος τῶν ἐλαιῶν·
Μυστικῶς μετὰ τῶν ἀποστόλων
Συναυλισθῶμεν αὐτῷ.

Ἐννόησον ταπεινή μου καρδία,
Τίς ἡ τοῦ μύλωνος παραβολὴ,
Ἣν προεῖπε Χριστὸς,
Καὶ νῆψον λοιπόν.

Ἑτοίμαζε σεαυτὴν, ὦ ψυχή μου,
Ἐπὶ τὴν ἔξοδον·
Ἡ παρουσία ἐγγίζει
Τοῦ δικάστου κριτοῦ.

Legitur in libro supra citato p. 315.

XXXII.

Ωιδὴ εἰς τὴν Μεσοπεντηκοστήν.

Ἔθνη κροτήσατε,
Ἑβραῖοι θρηνήσατε·
Ὁ ζωοδότης γὰρ Χριστὸς
Τὰ δεσμὰ διέῤῥηξε τοῦ ᾅδου,
Καὶ νεκροὺς ἀνέστησε,
Καὶ νόσους ἐθεράπευσε τῷ λόγῳ.
Οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ δοὺς ζωὴν
Τοῖς πιστεύουσιν ἐν τῷ ὀνόματι αὐτοῦ.

Θαῦμα παρέδειξας,
Τὸ ὕδωρ εἰς οἶνον μετελθὼν,
Ὁ ἐν Αἰγύπτῳ ποταμοὺς

Μεταστρέψας, δέσποτα, εἰς αἷμα·
Καὶ νεκροὺς ἀνέστησας,
Σημεῖον τοῦτο δεύτερον τελέσας.
Δόξα, σῶτερ, τῇ ἀφάτῳ σου βουλῇ·
Δόξα τῇ κενώσει σου, δι' ἧς ἐκαίνισας ἡμᾶς.

Ῥεῦθρον ἀένναον ὑπάρχων, κύριε,
Ζωῆς ἀληθινῆς, σὺ εἶ ἡ ἀνάστασις ἡμῶν·
Θέλων ἐκοπίασας, σῶτέρ μου, καὶ ἑκὼν ἐδίψησας,
Τοῖς νόμοις τῆς φύσεως ὑπείκων,
Καὶ εἰς Σιχὰρ ἀφικόμενος,
Σαρκὶ τὸ ὕδωρ ἐζήτησας τῇ Σαμαρείτιδι πιεῖν.

Ἄρτους εὐλόγησας, ἰχθύας ἐπλήθυνας,
Ὢ ἀκατάληπτος Θεὸς, καὶ λαοὺς ἐχόρτασας ἀφθόνως·
Καὶ πηγὴν ἀένναον σοφίας τοῖς διψῶσι ἀπηγγείλω.
Σὺ εἶ σωτὴρ ὁ Θεὸς ἡμῶν, ὁ δοὺς ζωὴν
Τοῖς πιστεύουσιν ἐν τῷ ὀνόματι τῷ σῷ.

Vid. libr. s. c. p. 326.

XXXIII.

Ὠιδὴ εἰς τὴν Μεσοπεντηκοστήν.

Θαύμασι κατεκόσμησας τοὺς ἀποστόλους σου·
Τέρασιν ἐμεγάλυνας τοὺς μαθητὰς,
Ἐν παντὶ τῷ κόσμῳ δοξάσας, σῶτερ ἡμῶν,
Καὶ δοὺς αὐτοῖς τὴν βασιλείαν σου.

Ἅπαντα κατεφώτισαν τῆς γῆς τὰ πέρατα,
Θαύμασι καὶ διδάγμασιν οἱ μαθηταὶ,
Καὶ ποικίλοις τρόποις τὸν λόγον κηρύξαντες,
Χριστὲ σῶτερ, τῆς βασιλείας σου.

Αἴνεσιν ἀναπέμπομεν τῇ βασιλείᾳ σου·
Ὕμνον σοι δὲ προσάγομεν τῷ δι' ἡμᾶς
Ἐπὶ γῆς ὀφθέντι καὶ κόσμον φωτίσαντι,
Καὶ τὸν Ἀδὰμ ἀνακαλέσαντι.

Δόξα σοι πάτερ ἅγιε, Θεὲ ἀγέννητε·
Δόξα σοι λόγε ἄχρονε μονογενές·

Δόξα σοι, τὸ πνεῦμα τὸ θεῖον, καὶ σύνθρονον,
Καὶ ὁμοούσιον πατρὶ καὶ υἱῷ.

Ὁ πάντα περιέπων τὰ πέρατα,
Ἀνῆλθες, Ἰησοῦς, καὶ ἐδίδασκες
Ἐν τῷ ἱερῷ τοὺς ὄχλους τὸν λόγον τῆς ἀληθείας,
Τῆς ἑορτῆς μεσούσης, ὡς Ἰωάννης βοᾷ.

Ἀνέπτυξας τὰ χείλη σου, δέσποτα,
Ἐκήρυξας τῷ κόσμῳ τὸν ἄχρονον πατέρα,
Καὶ τὸ πανάγιον πνεῦμα, τὸ συγγενὲς
Ἀμφοτέρων φυλάττων καὶ μετὰ σάρκωσιν.

Τὸ ἔργον τοῦ πατρὸς ἐτελείωσας,
Τοῖς ἔργοις ἐπιστώσω τοὺς λόγους σου,
Ἰάσεις τελῶν, σῶτερ, καὶ σημεῖα, παράλυτον ἀνορθῶν,
Λεπροὺς καθαίρων καὶ τοὺς νεκροὺς ἀνιστῶν.

Ὁ ἄναρχος υἱὸς ἀρχὴ γέγονε, λαβὼν τὸ καθ' ἡμᾶς·
Ἐνηνθρώπησε καὶ μέσον τῆς ἑορτῆς ἐδίδασκε, λέγων·
Προςδράμετε τῇ πήγῃ τῇ ἀεννάῳ·
Ζωὴν ἀρύσασθε.

Vid. l. c. p. 328 sqq.

XXXIV.

Τῇ κυριακῇ τῶν βαΐων, ἑσπέρας εἰς τὸ ἀπόδειπνον.

Ἰησοῦς ὑπὲρ τοῦ κόσμου ἐπειγόμενος παθεῖν,
Θέλων συνανέρχεται τοῖς μαθηταῖς αὐτοῦ
Ἐπὶ τὴν πόλιν Ἱερουσαλήμ.
Πρὸς τὸ ἑκούσιον πάθος, ὃ ἦλθε παθεῖν.

Ἑτοίμαζε, Ἰουδαία, τοὺς ἱερεῖς σου·
Εὐτρέπιζε τὰς χεῖρας πρὸς θεοκτονίαν.
Ἰδοὺ γὰρ ἦλθε πραῢς καὶ ἥσυχος ἐπὶ τὸ πάθος,
Ἀμνὸς ὑπάρχων καὶ ποιμὴν ἡμῶν,
Χριστὸς ὁ βασιλεὺς Ἰσραήλ.

Ὑπόδεξαι, Ἰουδαία, τὸν βασιλέα·
Ἰδοὺ γὰρ πρὸς τὸ πάθος ἔρχεται ἑκουσίως,
Ἵνα πάθῃ καὶ σώσῃ τοὺς κράζοντας

Ἀκαταπαύστως· εὐλογημένος ὁ ἐρχόμενος
Σταυρῷ σῶσαι τὰ σύμπαντα.

Hosce versus exscripsi ex Andreae Triodio, vespere ad Completorium decantato. Conf. libr. saepius citatum p. 311.

XXXV.

Ὕμνος.

Ὃν στρατιαὶ οὐρανῶν δοξάζουσιν·
Ὃν φρίσσει τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ·
Πᾶσα πνοὴ καὶ κτίσις ὑμνεῖτε, εὐλογεῖτε
Καὶ ὑπερυψοῦτε εἰς πάντας.

Ἡμαρτηκότα, σῶτερ, ἐλέησον·
Διέγειρόν μου τὸν νοῦν πρὸς ἐπιστροφήν·
Δέξαι μετανοοῦντα· οἰκτείρησον βοῶντα·
Ἥμαρτόν σοι μόνῳ· ἠνόμησα, ἐλέησόν με.

Δικαιοκρίτα σῶτερ, ἐλέησον,
Καὶ ῥῦσαί με τοῦ πυρὸς καὶ τῆς ἀπειλῆς,
Ἧς μέλλω ἐν τῇ κρίσει δικαίως ὑποστῆναι·
Ἄνες μοι πρὸ τέλους δι᾽ ἀρετῆς καὶ μετανοίας.

Φεῖσαι, σῶτερ, τοῦ ἰδίου πλάσματος,
Καὶ ζήτησον ὡς ποιμὴν τὸ ἀπολωλὸς πρόβατον·
Πλανηθέντα ἐξάρπασον τοῦ λύκου·
Ποίησόν με θρέμμα ἐν τῇ μονῇ τῶν σῶν προβάτων.

Ὅταν καθίσῃς κριτὴς ὡς εὔσπλαγχνος,
Καὶ δείξῃς τὴν φοβερὰν δόξαν σου, Χριστέ;
Ὦ ποῖος φόβος τότε, καμίνου καιομένης,
Πάντων δειλιώντων τὸ ἄστεκτον τοῦ βήματός σου.

Legitur in Magno Canone Andreae l. c. p. 293.

XXXVI.

Κανὼν ὁ μέγας.

Ωιδὴ α.

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν·
Οὗτός μου Θεὸς καὶ δοξάσω αὐτόν·
Θεὸς τοῦ πατρός μου καὶ ὑψώσω αὐτόν,
Ἐνδόξως γὰρ δεδόξασται.

Πόθεν ἄρξομαι θρηνεῖν
Τὰς τοῦ ἀθλίου μου βίου πράξεις;
Ποίαν ἀπαρχὴν ἐπιθήσω, Χριστέ,
Τῇ νῦν θρηνῳδίᾳ;
Ἀλλ' ὡς εὔσπλαγχνός μοι δὸς παραπτωμάτων ἄφεσιν.

Δεῦρο τάλαινα ψυχὴ σὺν τῇ σαρκί σου·
Τῷ πάντων κτίστῃ ἐξομολογοῦ,
Καὶ ἀπόσχου λοιπὸν τῆς πρὶν ἀλογίας,
Καὶ προςάγαγε Θεῷ ἐν μετανοίᾳ δάκρυα.

Τὸν πρωτόπλαστον Ἀδὰμ, τῇ παραβάσει παραζηλώσας,
Ἔγνων ἐμαυτὸν γυμνωθέντα Θεοῦ
Καὶ τῆς ἀϊδίου βασιλείας καὶ τρυφῆς
Διὰ τὰς ἁμαρτίας μου.

Οἴμοι τάλαινα ψυχή·
Τί ὡμοιώθης τῇ πρώτῃ Εὔᾳ;
Εἶδες γὰρ κακῶς καὶ ἐτρώθης πικρῶς,
Καὶ ἥψω τοῦ ξύλου,
Καὶ ἐγεύσω προπετῶς τῆς παραλόγου βρώσεως.

Ἀντὶ Εὔας αἰσθητῆς ἡ νοητή μοι κατέστη Εὔα,
Ὁ ἐν τῇ σαρκὶ ἐμπαθὴς λογισμὸς,
Δεικνὺς τὰ ἡδέα καὶ γευόμενος ἀεὶ
Τῆς πικρᾶς καταπόσεως.

Ἐπαξίως τῆς Ἐδὲμ προεξεῤῥίφη,
Ὡς μὴ φυλάξας μίαν σου, σῶτερ, ἐντολὴν ὁ Ἀδάμ·
Ἐγὼ δὲ τί πάθω, ἀθετῶν
Διὰ παντὸς τὰ ζωηρά σου λόγια;

Τὴν τοῦ Κάϊν μετελθὼν μιαιφονίαν τῇ προαιρέσει,
Γέγονα φονεὺς, συνειδότι, ψυχῆς,

Ζωώσας τὴν σάρκα καὶ στρατεύσας κατ' αὐτῆς
Ταῖς πονηραῖς μου πράξεσι.

Τῇ τοῦ Ἄβελ, Ἰησοῦ, οὐχ ὡμοιώθην δικαιοσύνῃ,
Δῶρά σοι δεκτὰ οὐ προςῆξά ποτε,
Οὐ πράξεις ἐνθέους, οὐ θυσίαν καθαρὰν,
Οὐ βίον ἀνεπίληπτον.

Ὡς ὁ Κάϊν καὶ ἡμεῖς, ψυχὴ ἀθλία,
Τῷ πάντων κτίστῃ πράξεις ῥυπαρὰς
Καὶ θυσίαν ψεκτὴν καὶ ἄχρηστον βίον
Προςηγάγομεν ὁμοῦ, διὸ καὶ κατεκρίθημεν.

Τὸν πηλὸν, ὁ κεραμεὺς, ζωοπλαστήσας,
Ἐνέθηκάς μοι σάρκα καὶ ὀστᾶ, καὶ πνοὴν καὶ ζωήν·
Ἀλλ' ὦ ποιητά μου καὶ λυτρωτά μου καὶ γνωστὰ
Μετανοοῦντα δέξαι με.

Ἐξαγγέλω σοι, σῶτερ, τὰς ἁμαρτίας,
Ἃς εἰργασάμην, καὶ τὰς τῆς ψυχῆς
Καὶ τοῦ σώματός μου πληγὰς,
Ἃς οἱ ἔνδον μιαιφόνοι λογισμοὶ ληστρικῶς μοι ἐπέθηκαν.

Εἰ καὶ ἥμαρτον, σῶτερ, ἀλλ' οἶδα,
Ὅτι φιλάνθρωπος εἶ, πλήττεις συμπαθῶς
Καὶ σπλαγχνίζῃ θερμῶς, δακρύοντα βλέπεις,
Καὶ προςτρέχεις ὡς πατὴρ ἀνακαλῶν τὸν ἄσωτον.

Ἐῤῥιμένον με, σῶτερ, πρὸ τῶν πυλῶν σου,
Κἂν ἐν τῷ γήρει μή με ἀποῤῥίψῃς εἰς ᾅδου κενόν·
Ἀλλὰ πρὸ τοῦ τέλους ὡς φιλάνθρωπός μοι δὸς
Παραπτωμάτων ἄφεσιν.

Ὁ λησταῖς περιπεσὼν ἐγὼ ὑπάρχω τοῖς λογισμοῖς μου,
Ὅλος ὑπ' αὐτῶν τετραυμάτισμαι νῦν,
Ἐπλήσθην μωλώπων, ἀλλ' αὐτός μοι ἐπιστὰς,
Χριστὲ σῶτερ, ἰάτρευσον.

Ἱερεύς με προϊδὼν ἀντιπαρῆλθε,
Καὶ ὁ Λευίτης βλέπων ἐν δεινοῖς ὑπερεῖδε γυμνόν,
Ἀλλ' ὁ ἐκ Μαρίας ἀνατείλας Ἰησοῦς,
Σὺ ἐπιστάς με οἴκτειρον.

Ὁ ἀμνὸς ὁ τοῦ Θεοῦ ὁ αἴρων πάντων τὰς ἁμαρτίας,
Ἆρον τὸν κλοιὸν ἀπ' ἐμοῦ τὸν βαρὺν τὸν τῆς ἁμαρτίας,
Καὶ ὡς εὔσπλαγχνός μοι δὸς παραπτωμάτων ἄφεσιν.

Μετανοίας ὁ καιρὸς, προςέρχομαί σοι, τῷ πλαστουργῷ μου,
Ἆρον τὸν κλοιὸν ἀπ' ἐμοῦ τὸν βαρὺν τὸν τῆς ἁμαρτίας,
Καὶ ὡς εὔσπλαγχνός μοι δὸς παραπτωμάτων ἄφεσιν.

Μὴ βδελύξῃς με, σῶτερ,
Μὴ ἀποῤῥίψῃς τοῦ σοῦ προςώπου,
Ἆρον τὸν κλοιὸν ἀπ' ἐμοῦ τὸν βαρὺν τὸν τῆς ἁμαρτίας,
Καὶ ὡς εὔσπλαγχνός μοι δὸς παραπτωμάτων ἄφεσιν.

Τὰ ἑκούσια, σῶτερ, καὶ τὰ ἀκούσια πταίσματά μου,
Καὶ τὰ φανερὰ καὶ κρυπτὰ καὶ γνωστὰ καὶ ἄγνωστα πάντα,
Συγχωρήσας ὡς Θεὸς, ἱλάσθητι καὶ σῶσόν με.

Ἐκ νεότητος, σῶτερ, τὰς ἐντολάς σου ἐπαπωσάμην,
Ὅλως ἐμπαθῶς ἀμελῶν, ῥαθυμῶν παρῆλθον τὸν βίον,
Διὸ κράζω σοι, σῶτερ, κἂν ἐν τῷ τέλει, σῶσον με.

Τὴν οὐσίαν σου, ψυχὴ, καταναλώσας ταῖς ἀσωτίαις,
Ἔρημος ὑπάρχεις καρπῶν εὐσεβῶν·
Λιμώττουσα κράζον· ὦ πατὲρ, τῶν οἰκτιρμῶν προφθάσας
Σύ με οἴκτειρον.

Σοὶ προσπίπτω, Ἰησοῦ, ἡμάρτηκά σοι, ἱλάσθητί μοὶ,
Ἆρον τὸν κλοιὸν ἀπ' ἐμοῦ τὸν βαρὺν τὸν τῆς ἁμαρτίας,
Καὶ ὡς εὔσπλαγχνός μοι δὸς δάκρυα κατανύξεως.

Μὴ εἰςέλθῃς μετ' ἐμοῦ ἐν κρίσει,
Φέρων μου τὰ πρακτέα, λόγους ἐκζητῶν καὶ εὐθύνων ὁρμάς·
Ἀλλ' ἐν τοῖς οἰκτιρμοῖς σου, παρορῶν μου τὰ δεινὰ,
Σῶσόν με, παντοδύναμε.

Vid. l. c. p. 265 seqq.

C.

Cosmas Hierosolymitanus.

XXXVII.

Εἰς τὴν θεογονίαν.

Ἡ ἀκροστιχίς·
Χριστὸς βροτωθεὶς ἦν ὅπερ Θεὸς μένῃ.

Χριστὸς γεννᾶται, δοξάσατε,
Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε,
Χριστὸς ἐπὶ γῆς, ὑψώθητε.
Ἄισατε τῷ κυρίῳ πᾶσα ἡ γῆ,
Καὶ ἐν εὐφροσύνῃ ἀνυμνήσατε
Λαοὶ, ὅτι δεδόξασται.

Ῥεύσαντα ἐκ παραβάσεως Θεοῦ
Τὸν κατ' εἰκόνα γενόμενον,
Ὅλον τῆς φθορᾶς ὑπάρξαντα
Κρείττονος ἐπταικότα θείας ζωῆς,
Αὖθις ἀναπλάττει ὁ σοφὸς
Δημιουργός, ὅτι δεδόξασται.

Ἰδὼν ὁ κτίστης ὀλλύμενον
Τὸν ἄνθρωπον, χερσὶν ὃν ἐποίησε,
Κλίνας οὐρανοὺς κατέρχεται·
Τοῦτον δὲ ἐκ παρθένου θείας, ἁγνῆς
Ὅλον οὐσιοῦται, ἀληθείᾳ
Σαρκωθεὶς, ὅτι δεδόξασται.

Σοφία, λόγος καὶ δύναμις,
Υἱὸς ὢν τοῦ πατρὸς καὶ ἀπαύγασμα,
Χριστὸς ὁ Θεὸς, δυνάμεις λαθὼν,
Ὅσας ὑπερκοσμίους, ὅσας ἐν γῇ,
Καὶ ἐνανθρωπίσας, ἀνεκτίσατο
Ἡμᾶς, ὅτι δεδόξασται.

Τῷ πρὸ τῶν αἰώνων ἐκ πατρὸς γεννηθέντι
Ἀῤῥεύστως υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ παρθένου
Σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν
Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ, κύριε.

Ὁ τῆς ἐπιπνοίας μετασχὼν τῆς ἀμείνω Ἀδὰμ χοϊκός,
Καὶ πρὸς φθορὰν κατολισθήσας γυναικείᾳ ἀπάτῃ,
Χριστὸν γυναικὸς βοᾷ ἐξορῶν·
Ὁ δι' ἐμὲ κατ' ἐμὲ γεγονώς, ἅγιος εἶ κύριε.

Σύμμορφος πηλίνης εὐτελοῦς διαρτίας, Χριστέ, γεγονώς,
Καὶ μετοχῇ σαρκὸς τῆς χείρω μεταδοὺς θείας φύτλης,
Βροτὸς πεφυκὼς καὶ μείνας Θεός,
Καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ κύριε.

Βηθλεὲμ εὐφραίνου, ἡγεμόνων Ἰούδα βασίλεια·
Τὸν Ἰσραὴλ γὰρ ὁ ποιμαίνων,
Χερουβὶμ ὁ ἐπ' ὤμων,
Ἐκ σοῦ προελθὼν Χριστὸς ἐμφανῶς
Καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν,
Πάντων ἐβασίλευσε.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί,
Καὶ ἄνθος ἐξ αὐτῆς, Χριστέ,
Ἐκ τῆς παρθένου ἀνεβλάστησας,
Ἐξ ὄρους ὁ αἰνετὸς κατασκίου, δασέος ἦλθες,
Σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός,
Δόξα τῇ δυνάμει σου κύριε.

Ὃν πάλαι προεῖπεν Ἰακὼβ ἐθνῶν
Ἀπεκδοχήν, Χριστέ, φυλῆς Ἰούδα ἐξανέτειλας,
Καὶ δύναμιν Δαμασκοῦ, Σαμαρείας σκῦλά τε ἦλθες
Προνομεύσας, πλάνην τρέπων εἰς πίστιν θεοπρεπῆ.
Δόξα τῇ δυνάμει σου κύριε.

Τοῦ μάντεως πάλαι Βαλαὰμ τῶν λόγων μυητάς,
Σοφούς, ἀστεροσκόπους χαρᾶς ἔπλησας,
Ἀστὴρ ἐκ τοῦ Ἰακὼβ ἀνατείλας δέσποτα·
Ἐθνῶν ἀπαρχὴν εἰςαγομένους ἐδέξω δὲ προφανῶς·
Δόξα τῇ δυνάμει σου κύριε.

Ὡς πόκῳ γαστρὶ παρθενικῇ κατέβης ὑετός, Χριστέ,
Καὶ ὡς σταγόνες ἐν γῇ στάζουσαι.
Αἰθίοπες καὶ Θάρσεις καὶ Ἀράβων νῆσοί τε Σαβᾶ, Μήδων,
Πάσης γῆς κρατοῦντες προςέπεσόν σοι σωτήρ.
Δόξα τῇ δυνάμει σου κύριε.

Θεὸς ὢν εἰρήνης, πατὴρ οἰκτιρμῶν,
Τῆς μεγάλης βουλῆς σου τὸν ἄγγελον,

Εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν,
Ὅθεν θεογνωσίας πρὸς φῶς ὁδηγηθέντες,
Ἐκ νυκτὸς ὀρθρίζοντες,
Δοξολογοῦμέν σε, φιλάνθρωπε.

Ἐν δούλοις τῷ Καίσαρος δόγματι ἀπογράφης πειθήσας·
Καὶ δούλους ἡμᾶς ἐχθροῦ καὶ ἁμαρτίας ἠλευθέρωσας Χριστέ.
Ὅλον τὸ καθ' ἡμᾶς δὲ πτωχώσας,
Καὶ χοϊκὸν ἐξ αὐτῆς ἑνώσεως καὶ κοινωνίας ἐθεούργησας.

Ἰδοὺ ἡ παρθένος, ὡς πάλαι φησὶν, ἐν γαστρὶ συλλαβοῦσα,
Ἐκύησε Θεὸν ἐνανθρωπήσαντα, καὶ μένει παρθένος.
Δι' ἧς καταλλαγέντες Θεῷ οἱ ἁμαρτωλοὶ,
Θεοτόκον κυρίως οὖσαν, ἐν πίστει ἀνυμνήσωμεν.

Σπλάγχνων Ἰωνᾶν ἔμβρυον ἀπήμεσεν ἐνάλιον θὴρ, οἷον ἐδέξατο·
Τῇ παρθένῳ δὲ ἐνοικήσας ὁ λόγος καὶ σάρκα λαβὼν,
Διελήλυθε φυλάξας ἀδιάφθορον·
Ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως,
Τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Ἦλθε σαρκωθεὶς Χριστὸς ὁ Θεὸς ἡμῶν,
Γαστρὸς ὃν πατὴρ πρὸ ἑωσφόρου γεννᾷ·
Τὰς ἡνίας δὲ ὁ κρατῶν τῶν ἀχράντων
Δυνάμεων, ἐν φάτνῃ τῶν ἀλόγων
Ἀνακέκλιται. Ῥάκη σπαργανοῦται,
Λύει δὲ πολυπλόκους σειρὰς παραπτώσεων.

Νέον ἐξ Ἀδὰμ παιδίον φυράματος ἐτέχθη,
Υἱὸς καὶ πιστοῖς δέδοται·
Τοῦ δὲ μέλλοντος οὗτός ἐστιν αἰῶνος πατὴρ καὶ ἄρχων,
Καὶ καλεῖται τῆς μεγάλης βουλῆς ἄγγελος.
Οὗτος ἰσχυρὸς Θεός ἐστι, καὶ κρατῶν ἐξουσίαν τῆς κτίσεως.

Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες,
Δυσσεβοῦς προστάγματος καταφρονήσαντες,
Πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν,
Ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον·
Ὁ τῶν πατέρων ἡμῶν Θεὸς, εὐλογητὸς εἶ.

Ποιμένες ἀγραυλοῦντες ἐκπλαγοῦς φωτοφανίας ἔτυχον·
Δόξα κυρίου γὰρ αὐτοὺς περιέλαμψε,

Καὶ ἄγγελος, ἀνυμνήσατε, βοῶν, ὅτι ἐτέχθη Χριστός·
Ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Ἐξαίφνης σὺν τῷ λόγῳ τοῦ ἀγγέλου οὐρανῶν στρατεύματα·
Δόξα, ἐκραύγαζον, Θεῷ ἐν ὑψίστοις,
Ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.
Χριστὸς ἔλαμψεν.
Ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Ῥήματι τοῦτο εἶπον οἱ ποιμένες·
Διελθόντες ἴδωμεν τὸ γεγονός, θεῖον Χριστόν.
Βηθλεὲμ καταλαβόντες δὲ συν τῇ τεκούσῃ προςεκύνουν ἀναμέλποντες·
Ὁ τῶν πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος ἐξεικόνιζε κάμινος τύπον·
Οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους,
Ὡς οὐδὲ πῦρ τῆς θεότητος παρθένου ἣν ὑπέδυ νηδύν.
Διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον,
Καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἕλκει Βαβυλῶνος ἡ θυγάτηρ παῖδας
Δορικτήτους Δαβὶδ ἐκ Σιὼν ἐν αὐτῇ·
Δωροφόρους πέμπει δὲ μάγους παῖδας,
Τὴν τοῦ Δαβὶδ θεοδόχον θυγατέρα λιτανεύσοντας.
Διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον,
Καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὄργανα παρέκλινε τὸ πένθος ᾠδῆς·
Οὐ γὰρ ᾖδον ἐν νόθοις οἱ παῖδες Σιών·
Βαβυλῶνος λύει δὲ πᾶσαν πλάνην
Καὶ μουσικῶν ἁρμονίαν Βηθλεὲμ ἐξανατείλας Χριστός.
Διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον,
Καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Σκῦλα Βαβυλὼν τῆς βασιλίδος Σιών,
Καὶ δορύκτητον ὄλβον ἐδέξατο,
Θησαυροὺς Χριστὸς ἐν Σιῷ δὲ ταύτης,
Καὶ βασιλεῖς ἐν ἀστέρι ὁδηγῷ ἀστρολογοῦντας ἕλκει·
Διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·

Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον,
Καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον,
Οὐρανὸν τὸ σπήλαιον, θρόνον Χερουβικὸν τὴν παρθένον,
Τὴν φάτνην χωρίον ἐν ᾧ ἀνεκλίνθη ὁ ἀχώριστος Χριστός,
Ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαίσιον δρόμον ὁρῶντες οἱ μάγοι
Ἀσυνήθους νέου ἀστέρος ἀρτιφαοῦς,
Οὐρανίου ὑπερλάμποντος, Χριστὸν βασιλέα
Ἐτεκμήραντο ἐν γῇ γεννηθέντα Βηθλεέμ
Εἰς σωτηρίαν ἡμῶν.

Νεηγενὲς μάγων λεγόντων παιδίον,
Ἄναξ, οὗ ἀστὴρ ἐφάνη, ποῦ ἐστιν;
Εἰς γὰρ ἐκείνου προσκύνησιν ἥκομεν·
Μανεὶς ὁ Ἡρώδης ἐταράττετο,
Χριστὸν ἀνελεῖν ὁ θεομάχος φρυαττόμενος.

Ἠκρίβωσε χρόνον Ἡρώδης ἀστέρος,
Οὗ ταῖς ἡγεσίαις οἱ μάγοι ἐν Βηθλεέμ
Προσκυνοῦσι Χριστὸν σὺν δώροις·
Ὑφ᾽ οὗ πρὸς πατρίδα ὁδηγούμενοι,
Δεινὸν παιδοκτόνον ἐγκατέλειπον παιζόμενον.

Legitur apud Gallandum Biblioth. Patrum XIII. p. 234 sq. Conferas Anthologium editum Romae 1738. p. 436. mense Decembri. Extant hymni XIII. in linguam latinam translati in Biblioth. Patrum. Colon. Tom. VII. p. 536 sqq. Ramb. Anth. I. p. 137. „Die Hymnen des Cosmas gehören unter die beliebtesten in der Griechischen Kirche; und Suidas in seinem Wörterbuche erklärt, dass ihnen nebst denen von Johannes Damascenus nie etwas gleich gekommen sei, noch je gleich kommen werde.“ — v. 23. *ἀνεκτίσατο.* Anthol. *ἀνεκτήσατο.* — v. 31. *Χριστόν.* Sic scripsi cum Gallando. Antholog. Romanum: *Χριστῷ.* — v. 34. *χεῖρας* Gallandus proponit lectionem *χεῖρους*, quae melior mihi videtur. — v. 53. *θεοπρεπῆ.* Antholog. *θεοτερπῆ.* — v. 58 Antholog. hunc versum sic praebet: *Δῶρά σοι δεκτὰ προσκομίζοντας.* — v. 84. *Γαστρός.* Deest ἐκ — v. 87. *Ἀνακέκληται* Anthol. *ἀνακλίνεται.* — v. 98. In Anthologio deest *ἡμῶν* — v. 102. cf. ad v. 98. — v. 107. cf. ad v. 98. — v. 10*. *Ῥήματι.* Male in Antholog. legitur *ῥῆμά τι.* — v. 111. Conf. ad v. 98. — v. 112. *Ἐξεικόνιζε.* Anthol. *ἐξεικόνισε.* — v. 124. *ὑπερυψούτω.* Sic scripsi, quod lectori probatum iri spero; nam facile intelligitur, tres versus, quae singulas stro-

phas a v 112—138. finiunt, eodem modo legendos esse. In textu, quem Galland. exhibet. invenitur *ὑπερυψοῦτε*. — v. 131. Conf. ad v. 124. — v. 134. *Σιῷ*. Sic scripsi cum Galland. Antholog. *ἐν Σιών*. — v. 135. *Ἐν*. Anthol. *σύν*. *Ἀστρολογοῦντας*. Anthol. *Ἀστροπολοοῦντας*. — v. 138. Conf. ad v. 124. — v. 145. *Οὐρανίου*. Anthol. *Οὐρανίους*. — v. 155. *Χριστόν*. Antholog *Χριστῷ*.

XXXVIII.

Εἰς τὰ θεοφάνια.

Ἡ ἀκροστιχίς·
Βαπτισμα ῥύψις γηγενῶν ἁμαρτάδος.

Βυθοῦ ἀνεκάλυψε πυθμένα,
Καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει,
Ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους,
Ὁ κραταιὸς ἐν πολέμοις κύριος,
Ὅτι δεδόξασται.

Ἀδὰμ τὸν φθαρέντα ἀναπλάττει
Ῥείθροις Ιορδάνου, καὶ δρακόντων κεφαλὰς
Ἐμφωλευόντων διαθλάττει
Ὁ βασιλεὺς τῶν αἰώνων κύριος,
Ὅτι δεδόξασται.

Πυρὶ τῆς θεότητος ἀΰλῳ,
Σάρκα ὑλικὴν ἠμφιεσμένος,
Ἰορδάνου περιβάλλεται τὸ νᾶμα
Ὁ σαρκωθεὶς ἐκ παρθένου κύριος,
Ὅτι δεδόξασται.

Τὸν ῥύπον ὁ σμήχων τῶν ἀνθρώπων,
Τούτοις καθαρθεὶς ἐν Ἰορδάνῃ οἷς θελήσας ὡμοιώθη·
Ὁ ἦν μείνας, τοὺς ἐν τῷ σκότει φωτίζων κύριος,
Ὅτι δεδόξασται.

Ἰσχὺν ὁ διδοὺς τοῖς βασιλεῦσιν ἡμῶν κύριος,
Καὶ κέρας χριστῶν αὐτοῦ ὑψῶν,
Παρθένου ἀποτίκτεται, μολεῖ δὲ πρὸς τὸ βάπτισμα.
Διὸ πιστοὶ βοήσωμεν· οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν,
Καὶ οὐκ ἔστι δίκαιος, πλὴν σοῦ, κύριε.

Στειρεύουσα πρὶν, ἡ τεκνουμένη δεινῶς,
Σήμερον εὐφραίνου Χριστοῦ ἐκκλησία.

Δι' ὕδατος καὶ πνεύματος υἱοὶ γάρ σοι γεγένηνται,
Ἐν πίστει ἀνακράζοντες· οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν,
Καὶ οὐκ ἔστι δίκαιος, πλὴν σοῦ, κύριε.

Μεγάλη φωνῇ ἐν τῇ ἐρήμῳ βοᾷ πρόδρομος·
Χριστοῦ ἑτοιμάσατε ὁδοὺς,
Καὶ τρίβους τοῦ Θεοῦ ἡμῶν εὐθείας ἀπεργάσασθε,
Ἐν πίστει ἀνακράζοντες· οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν,
Καὶ οὐκ ἔστι δίκαιος, πλὴν σοῦ, κύριε.

Ἀκήκοα κύριε φωνῆς σου, ἣν εἶπας·
Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·
Ὅτι ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων, τῷ σῷ μαρτυρούμενος υἱῷ.
Ὅλος γεγονὼς τοῦ παρόντος πνεύματος δὲ, ἐβόησε·
Σὺ εἶ Χριστὸς, Θεοῦ σοφία καὶ δύναμις.

Ῥυπτόμενον ἥλιον τίς εἶδεν, ὁ κῆρυξ βοᾷ, τὸν ἔκλαμπρον τῇ φύσει;
Ἵνα σε ὕδασιν ἀπαύγασμα τῆς δόξης, τοῦ πατρὸς χαρακτὴρ ἀϊδίου,
Ἐκπλύνω, καὶ χόρτος ὢν, πυρὶ ψαύσω τῆς σῆς θεότητος;
Σὺ εἶ Χριστὸς, Θεοῦ σοφία καὶ δύναμις.

Υπέφηνεν ἔνθεον ἣν εἶχεν εὐλάβειαν Μωσῆς περιτυχών σοι.
Ὡς γαρ τῆς βάτου σε φωνήσαντα ᾐσθήθη, εὐθὺς ἀπεστράφη τὰς ὄψεις.
Ἐγὼ δὲ πῶς βλέψω σε τρανῶς ἢ πῶς χειροθετήσω σε;
Σὺ εἶ Χριστὸς, Θεοῦ σοφία καὶ δύναμις.

Ψυχῆς τελῶν ἔμφρονος καὶ λόγῳ τιμώμενος,
Ἀψύχων εὐλαβοῦμαι. Εἰ γὰρ βαπτίσω σε,
Κατήγορόν μοι ἔσται πυρὶ καπνιζόμενον ὄρος,
Φυγοῦσα δὲ θάλασσα διχῇ καὶ Ἰορδάνης οὗτος στραφείς.
Σὺ γὰρ Χριστὸς, Θεοῦ σοφία καὶ δύναμις.

Ἰησοῦς ὁ ζωῆς ἀρχηγὸς λῦσαι τὸ κατάκριμα ἥκει
Ἀδὰμ τοῦ πρωτοπλάστου, καθαρσίων δὲ ὡς Θεὸς μὴ δεόμενος,
Τῷ πεσόντι καθαίρεται ἐν τῷ Ἰορδάνῃ, ἐν ᾧ τὴν ἔχθραν κτείνας,
Ὑπερέχουσαν πάντα νοῦν εἰρήνην χαρίζεται.

Συνελθόντων ἀπείρων λαῶν ὑπὸ Ἰωάννου βαπτισθῆναι,
Αὐτὸς ἐν μέσῳ ἔστη, προςεφώνει δὲ τοῖς παροῦσι·
Τίς ἔδειξεν, ἀπειθεῖς τὴν ὀργὴν ὑμῖν ἐκκλῖναι τὴν μέλλουσαν;
Καρποὺς ἀξίους Χριστῷ ἐκτελεῖτε,
Παρὼν γὰρ νῦν εἰρήνην χαρίζεται.

Γεωργὸς ὁ καὶ δημιουργὸς, μέσον ἑστηκὼς ὡς εἷς ἁπάντων,
Καρδίας ἐμβατεύει· καθαρτήριον δὲ πτύον χειρισάμενος,
Τὴν παγκόσμιον ἅλωνα πανσόφως διΐστησι, τὴν ἀκαρπίαν φλέγων,
Εὐκαρποῦσιν αἰώνιον ζωὴν χαριζόμενος.

Ἡ φωνὴ τοῦ λόγου, ὁ λύχνος τοῦ φωτὸς,
Ὁ ἑωςφόρος, ὁ τοῦ ἡλίου πρόδρομος,
Ἐν τῇ ἐρήμῳ, μετανοεῖτε, πᾶσι βοᾷ τοῖς λαοῖς,
Καὶ προκαθαίρεσθε, ἰδοὺ γὰρ πάρεστι Χριστὸς,
Ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενος.

Γεννηθεὶς ἀῤῥεύστως ἐκ Θεοῦ καὶ πατρὸς,
Ἐκ τῆς παρθένου δίχα σαρκοῦται ῥύπου Χριστὸς,
Οὗ τὸν ἱμάντα, τὴν ἐξ ἡμῶν τοῦ λόγου συνάφειαν,
Λύειν ἀμήχανον διδάσκει ὁ πρόδρομος,
Γηγενεῖς ἐκ πλάνης λυτρούμενος.

Ἐν πυρὶ βαπτίζει τελευταίῳ Χριστὸς τοὺς ἀπειθοῦντας,
Καὶ μὴ Θεὸν φρονοῦντας αὐτόν.
Ἐν πνεύματι δὲ καινοποιεῖ δι' ὕδατος χάριτι
Τοὺς ἐπιγνώμονας αὐτοῦ τῆς θεότητος,
Τῶν πλημμελημάτων λυτρούμενος.

Νέους εὐσεβεῖς καμίνῳ πυρὸς προςομιλήσαντας,
Διασυρίζον πνεῦμα δρόσου ἀβλαβεῖς διεφύλαξε,
Καὶ θείου ἀγγέλου συγκατάβασις.
Ὅθεν ἐν φλογὶ δροσιζόμενοι, εὐχαρίστως ἀνέμελπον·
Ὑπερύμνητε ὁ τῶν πατέρων κύριος καὶ Θεὸς, εὐλογητὸς εἶ.

Ὥςπερ οὐρανῷ σὺν τρόμῳ καὶ θαύματι παρίσταντο
Ἐν Ἰορδάνῃ αἱ δυνάμεις τῶν ἀγγέλων σκοπούμεναι
Τοσαύτην Θεοῦ τὴν συγκατάβασιν,
Ὅπως ὁ κρατῶν τὴν ὑπέρῳον τῶν ὑδάτων ὑπόστασιν,
Ἐν τοῖς ὕδασι σωματοφόρος ἕστηκεν.
Ὁ Θεὸς ὁ τῶν πατέρων, εὐλογητὸς εἶ.

Νεφέλη ποτὲ καὶ θάλασσα θείου προεικόνιζε βαπτίσματος τὸ θαῦμα,
Ἐν οἷς ὁ πρὶν βαπτίζεται διεξοδικῶς τῷ νομοθέτῃ λαός,
Θάλασσα δὲ ἦν τύπος καὶ νεφέλη τοῦ πνεύματος,
Οἷς τελούμενοι, εὐλογητὸς εἶ, κράζομεν, ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἅπαντες πιστοὶ ἐν ᾧ τὴν τελείωσιν ἐλάβομεν,
Θεολογοῦντες ἀσιγήτως σὺν ἀγγέλοις δοξάσωμεν πατέρα,
Υἱὸν καὶ πνεῦμα ἅγιον, τοῦτο γὰρ τριὰς ὑποστάσεσιν ὁμοούσιος, εἷς δὲ Θεός,
Ὧι καὶ ψάλλομεν· ὑπερύμνητε ὁ τῶν πατέρων κύριος καὶ Θεός, εὐλογητὸς εἶ.

Μυστήριον παράδοξον ἡ Βαβυλῶνος ἔδειξε κάμινος πηγάσασα δρόσον,
Ὅτι ῥείθροις ἔμελλεν ἄϋλον πῦρ εἰςδέξασθαι ὁ Ἰορδάνης,
Καὶ στέρξαι σαρκὶ βαπτιζόμενον τὸν κτίστην,
Ὃ εὐλογοῦσι λαοὶ καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ἀπόθου φόβον ἅπαντα, ὁ λυτρωτὴς τῷ προδρόμῳ ἔφησεν,
Ἐμοὶ δὲ πειθάρχει, ὡς Χριστῷ μοι πρόςελθε, τοῦτο γὰρ φύσει πέφυκα.
Ἐμῷ προστάγματι εἶξον καὶ βάπτισόν με συγκαταβάντα,
Ὃν εὐλογοῦσι λαοὶ καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ῥημάτων ὡς ἀκήκοεν ὁ βαπτιστὴς τοῦ δεσπότου, σύντρομος παλάμην ἐκτείνει,
Χεῖρα πτύσας ὅμως δὲ τὴν κορυφὴν τοῦ πλάστου αὐτοῦ,
Ὧι βαπτισθέντι ἐβόα· ἁγίασόν με, σὺ γὰρ εἶς Θεός μου,
Ὃν εὐλογοῦσι λαοὶ καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Τριάδος ἡ φανέρωσις ἐν Ἰορδάνῃ γέγονεν, αὕτη γὰρ ὑπέρθεος φύσις,
Ὁ πατὴρ ἐφώνησεν, οὗτος ὁ βαπτιζόμενος, υἱὸς ὁ ἀγαπητός μου,
Τὸ πνεῦμα συμπαρῆν τῷ ὁμοίῳ,
Ὃν εὐλογοῦσι λαοὶ καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ἀπορεῖ πᾶσα γλῶσσα εὐφημεῖν πρὸς ἀξίαν.
Ἰλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος ὑμνεῖν σε Θεοτόκε.

Ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν δέχου;
Καὶ γὰρ τὸν πόθον οἶδας τὸν ἔνθεόν ἡμῶν,
Σὺ γὰρ Χριστιανῶν ἡ προστάτις, σὲ μεγαλύνομεν.

Δαβὶδ πάρεσο πνεύματι τοῖς φωτιζομένοις,
Νῦν προςέλθετε, ᾆδε πρὸς Θεὸν, ἐν πίστει λέγων·
Φωτίσθητε. Οὗτος ὁ πτωχὸς ἐκέκραξεν (Ἀδὰμ ἐν πτώσει),
Καὶ γὰρ αὐτοῦ εἰςήκουσε κύριος, ἐλθὼν ῥείθροις τοῦ Ἰορδάνου, φθαρέντα δὲ ἀνεκαίνισεν.

Ὁ Ἡσαΐας, λούσασθε, καθάρθητε, φάσκει,
Τὰς πονηρίας ἔναντι ἀφέλεσθε κυρίου.
Οἱ διψῶντες, ὕδωρ ἐπὶ ζῶν πορεύεσθε.
Ῥανεῖ γὰρ ὕδωρ καινοποιὸν Χριστὸς τοῖς προςτρέχουσιν αὐτῷ πίστει,
Καὶ πρὸς ζωὴν τὴν ἀγήρω βαπτίζει πνεύματι.

Συντηρώμεθα χάριτι πιστοὶ καὶ σφραγίδι.
Ὡς γὰρ ὄλεθρον ἔφυγον, φλιᾶς Ἑβραῖοι πάλαι αἱμαχθείσης,
Οὕτω καὶ ἡμῖν ἐξόδιον τὸ θεῖον τοῦτο τῆς παλιγγενεσίας λουτήριον ἔσται.
Ἔνθεν καὶ τῆς τριάδος ὀψώμεθα φῶς τὸ ἄδυτον.

Vid Galland. Bibl. Patr. XIII. p. 236 seq. Invenitur in Anthol. Rom. p. 76. — v. 26. *τεχνουμένη.* Anthol. *τεχνωμένη.* ,,Legerem *ἢ*" Gall. — v. 29. *ἔστι.* Gall. *ἔστιν.* — v. 43. *εἰ.* Anthol. *γὰρ* pro *εἰ*, ut et infra. — v. 81. *καμίνῳ πυρός.* Anthol. *καμίνου πυρί.* — v. 91. *Θεὸς ὁ τῶν πατέρων.* Anthol. *Θεὸς τῶν πατέρων ἡμῶν.* In Anthol. deest *εὐλογητὸς εἶ.* — v. 99. *ὑπερύμνητε κτλ.* Anthol. hunc versum sic exhibet: *εὐλογητός εἶ κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν.* — v. 107. *εὐλογοῦσι.* Gall. *εὐλογοῦσιν.* — v. 109. *χεῖρα πτύσας.* Galland. coniecit *χειραπτάσας.* Anthol. *χειραπτύσας.* — v. 110. *εἰ* Anthol. *τῷ.* Deest in Anthol. *εἰς* — v. 125. Anthol. *λούσασθε καὶ καθάρθητε.* — v. 128. *πίστει.* Anthol. *ἐν πίστει.*

XXXIX.

Τῇ μεγάλῃ τετάρτῃ.

Ἡ ἀκροστιχίς·
Τετράδι ψαλῶ.

Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας,
Ἐπλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς μου.
Ηὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν·

Οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν,
Καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ, κύριε.

Ἐν κενοῖς τὸ συνέδριον τῶν ἀνόμων,
Καὶ γνώμῃ συναθροίζεται κακοτρόπῳ,
Κατάκριτον τὸν ῥύστην σε ἀποφῆναι Χριστόν,
Ὧι ψάλλομεν· σὺ εἶ ὁ Θεὸς ἡμῶν,
Καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ, κύριε.

Τὸ δεινὸν βουλευτήριον τῶν ἀνόμων
Σκέπτεται θεομάχου ψυχῆς ὑπάρχον,
Ὡς δύςχρηστον τὸν δίκαιον ἀποκτεῖναι Χριστόν,
Ὧι ψάλλομεν· σὺ εἶ ὁ Θεὸς ἡμῶν,
Καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ, κύριε.

Ῥῆμα τυράννου ἐπεὶ ὑπερίσχυσεν,
Ἑπταπλασίως κάμινος ἐξεκαύθη ποτέ,
Ἐν ᾗ παῖδες οὐκ ἐφλέχθησαν βασιλέως πατήσαντες δόγμα,
Ἀλλ' ἐβόων· πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε,
Καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀποκενοῦσα γυνὴ μύρον ἔντιμον
Δεσποτικῇ καὶ θείᾳ φρικτῇ κορυφῇ,
Χριστέ, τῶν ἰχνῶν σου ἐπελάβετο τῶν ἀχράντων κεχραμμέναις παλάμαις,
Καὶ ἐβόα· πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε,
Καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Δάκρυσι πλύνει τοὺς πόδας ὑπεύθυνος
Ἁμαρτίαις τοῦ πλάσαντος καὶ ἐκμάσσει θριξί.
Διὸ τῶν ἐν βίῳ οὐ διήμαρτε πεπραγμένων τῆς ἀπολυτρώσεως,
Ἀλλ' ἐβόα· πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε,
Καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἱερουργεῖται τὸ λύτρον εὐγνώμονι,
Ἐκ σωτηρίων σπλάγχνων τε καὶ δακρύων πηγῆς,
Ἐν ᾗ διὰ τῆς ἐξαγοράσεως ἐκπλυθεῖσα, οὐ κατῃσχύνετο,
Ἀλλ' ἐβόα· πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε,
Καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ψυχαῖς καθαραῖς καὶ ἀῤῥυπάντοις χείλεσι δεῦτε
Μεγαλύνωμεν τὴν ἀκηλίδωτον καὶ ὑπέραγνον μητέρα
Τοῦ Ἐμμανουὴλ δι' αὐτῆς τῷ ἐξ αὐτῆς προςφέροντες λατρείαν τεχθέντι·
Φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Ἀγνώμων φανεὶς καὶ πονηρὸς ζηλότυπος
Δῶρον ἀξιόθεον λογοπραγεῖ.
Δἰ οὗ ὀφειλέσιον ἐλύθη ἁμαρτημάτων,
Καπηλεύων ὁ δεινὸς Ἰούδας τὴν φιλόθεον χάριν·
Φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Λέγει πορευθεὶς τοῖς παρανόμοις ἄρχουσι·
Τί μοι δοῦναι θέλετε; κἀγὼ Χριστὸν ὑμῖν
Τὸν ζητούμενον τοῖς θέλουσι παραδώσω,
Οἰκειότητα Θεοῦ Ἰούδας ἀντωσάμενος χρυσοῦ.
Φεῖσαι τῶν ψυχῶν ἡμῶν Χριστὲ ὁ Θεός.

Ὢ πηρωτικῆς φιλαργυρίας ἄσπονδε!
Λήθης ὅθεν ἔτυχες, ὅτι ψυχῆς οὐ δ' ὃς
Ἰσοστάσιος ὁ κόσμος, ὢν ἐδιδάχθης.
Ἀπογνώσει γὰρ σαυτὸν ἐβρόχισας ἀνάψας προδότα.
Φεῖσαι τῶν ψυχῶν ἡμῶν Χριστὲ ὁ Θεός.

Invenitur in Galland. Bibl. Patr. Tom. XIII. p. 240. et in Triodio Romano p. 487. — v. 8 et 9. *Χριστόν, ᾧ ψάλλομεν.* Triod. *Χριστέ, ᾧ κράζομεν.* — v. 13. *ἀποκτεῖναι.* Triod. *κατακρῖναι.* — v. 19. *τὸν κύριον.* Triod. *κυρίου τόν.* — v. 20. Triod. *ὑπερυψοῦτε αὐτὸν εἰς πάντας τοὺς αἰῶνας.* — v. 33. *ἐξαγοράσεως.* Triod. *ἐξαγορεύσεως.* — v. 36. *ἀῤῥυπάντοις.* Triod. *ἀῤῥυπώτοις.* — v. 38. *λατρείαν.* Triod *πρεσβείαν.* — v. 41. *ἀξιόθεον.* Triod. *ἀξιόχρεον.* — v 46. *θέλετε.* Sic scripsi, sensu suadente. Galland. *θέλεται.* — v. 49. Addit Triod. *καὶ σῶσον ἡμᾶς.*

XL.

Τῇ μεγάλῃ παρασκευῇ.

Ἡ ἀκροστιχίς·
Προσάββατόν τε.

Πρὸς σὲ ὀρθρίζω, τὸν δἰ εὐσπλαγχνίαν
Ἑαυτὸν τῷ πεσόντι κενώσαντα ἀτρέπτως,
Καὶ μέχρι παθῶν ἀπαθῶς ὑποκύψαντα,
Λόγε Θεοῦ, τὴν εἰρήνην
Παράσχου μοι, φιλάνθρωπε.

Ῥυφθέντες πόδας, καὶ προκαθαρθέντες
Μυστηρίου μεθέξει τοῦ θείου νοῦ Χριστέ σου,
Οἱ ὑπηρέται ἐκ Σιὼν ἐλαιῶνος μέγα
Πρὸς ὄρος συνανῆλθον
Ὑμνοῦντές σε φιλάνθρωπε.

Ὁρᾶτε, ἔφης, φίλοι, μὴ θροεῖσθε·
Νῦν γὰρ ἤγγικεν ὥρα ληφθῆναί με
Κτανθῆναι χερσὶν ἀνόμων.
Πάντες δὲ σκορπισθήσεσθε ἐμὲ λιπόντες,
Οὓς συνάξω κηρύξαι με φιλάνθρωπον.

Στήλην κακίας αὐτιθέου θεῖοι παῖδες παρεδειγμάτισαν,
Κατὰ Χριστοῦ δὲ φρυαττόμενον ἀνόμων συνέδριον βουλεύεται κενά·
Κτεῖναι μελετᾷ τὸν ζωῆς κρατοῦντα παλάμῃ,
Ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ἀπὸ βλεφάρων, μαθηταί, νῦν ὕπνον, ἔφης, Χριστέ, τινάξατε,
Ἐν προσευχῇ δὲ γρηγορεῖτε πειρασμῷ μή πως ὄλλυσθε,
Καὶ μάλιστα Σίμων, τῷ κραταιῷ γάρ, μεῖζον· Πεῖρᾳ γνῶθί με, Πέτρε,
Ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βέβηλον ἔπος τῶν χειλέων οὔποτε προήσομαι, δέσποτα,
Σὺν σοὶ θανοῦμαι ὡς εὐγνώμων, κἂν οἱ πάντες ἀρνήσονταί σε,
Ἐβόησε Πέτρος· σὰρξ οὐδὲ αἷμα, ὁ πατήρ σου ἀπεκάλυψέ μοί σε,
Ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βάθος σοφίας θεϊκῆς καὶ γνώσεως οὐ πᾶν ἐξηρεύνησας,
Ἄβυσσον δέ μου τῶν κριμάτων οὐ κατέλαβες, ἄνθρωπε, ὁ κύριος ἔφη·
Σὰρξ οὖν ὑπάρχων μὴ καυχῶ, ἀρνήσῃ τρίτον γάρ με,
Ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ἀπαγορεύεις Σίμων Πέτρε, ὅπερ πείσῃ τάχος ὡς εἴρηται,
Καί σοι παιδίσκη οἷα θᾶττον προσελθοῦσα πτοήσει σε,
Ὁ κύριος ἔφη· πικρῶς δακρύσας, ὅμως ἕξεις εὐίλατόν με,
Ὃν πᾶσα κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ
Καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ,
Τὴν ἀδιαφθόρως Θεὸν λόγον τεκοῦσαν,
Τὴν ὄντως θεοτόκον,
Σὲ μεγαλύνομεν.

Ὀλέθριος σπεῖρα θεοστυγῶν πονηρευομένων,
Θεοκτόνων συναγωγὴ ἐπέστη Χριστέ σοι,

Καὶ ὡς ἄδικον εἶλκε τὸν κτίστην τῶν ἁπάντων,
Ὃν μεγαλύνομεν.

Νόμον ἀγνοοῦντες οἱ ἀσεβεῖς,
Φωνὰς προφητῶν τε μελετῶντες διακενῆς,
Ὡς πρόβατον εἶλκόν σε, τὸν ἁπάντων
Δεσπότην ἀδίκως σφαγιάσαι,
Ὃν μεγαλύνομεν.

Τοῖς ἔθνεσιν ἔκδοτον τὴν ζωὴν
Σὺν τοῖς γραμματεῦσιν ἀναιρεῖσθαι
Οἱ μιερεῖς παρέσχον πληγέντες
Αὐτοφθόνῳ κακίᾳ, τὸν φύσει ζωοδότην,
Ὃν μεγαλύνομεν.

Ἐκύκλωσαν κύνες ὡσεὶ πολλοί,
Ἐκρότησαν, ἄναξ, σιαγόνα σὴν ῥαπισμῷ,
Ἠρώτων σε, σοῦ δὲ ψευδῆ κατεμαρτύρουν,
Καὶ πάντα ὑπομείνας, ἅπαντας ἔσωσας.

Conf. Galland. Bibl. Patr. Tom. XIII. p. 244. — v. 2. *κενώσαντα.* Triod. *ἑνώσαντα.* — v. 20. *μαθηταί.* Triod. *μαθηταῖς.* — v. 22. *Σίμων.* Triod. *Σίμωνι.* — v. 26. Triod. omittit *σε.* — v. 53. *μιερεῖς.* Triod. *ἱερεῖς.*

XLI.

Εἰς τὴν Πεντηκοστήν.

Ἡ ἀκροστιχίς·
Πεντηκοστὴν ἑορτάζωμεν.

Πόντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν
Ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι.
Ἄισωμεν αὐτῷ, ὅτι δεδόξασται.

Ἔργῳ, ὡς πάλαι τοῖς μαθηταῖς ἐπηγγείλω,
Τὸ παράκλητον πνεῦμα ἐξαποστείλας, Χριστέ,
Ἔλαμψας τῷ κόσμῳ φῶς, φιλάνθρωπε.

Νόμῳ τὸ πάλαι προκηρυχθὲν καὶ προφήταις,
Ἐπληρώθη τοῦ θείου πνεύματος σήμερον.
Πᾶσι γὰρ πιστοῖς χάρις ἐκκέχυται.

Τὴν ἐξ ὕψους δύναμιν τοῖς μαθηταῖς, Χριστέ,
Ἕως οὗ ἐνδύσησθε, ἔφης, καθίσατε ἐν Ἱερουσαλήμ.
Ἐγὼ δὲ ὡς ἐμὲ παράκλητον ἄλλον πνεῦμα τὸ ἐμόν τε καὶ πατρὸς
Ἀποστελῶ, ἐν ᾧ στερεωθήσεσθε.

Ἡ τοῦ θείου πνεύματος ἐπιφοιτήσασα δύναμις,
Τὴν μερισθεῖσαν πάλαι φωνὴν κακῶς ὁμονοησάντων,
Εἰς μίαν ἁρμονίας θείως συνῆψε γνῶσιν,
Συνετίζουσα πιστοὺς τῆς τριάδος, ἐν ᾗ ἐστερεώθημεν.

Κατανοῶν ὁ προφήτης τὴν ἐπ' ἐσχάτων σου,
Χριστέ, ἔλευσιν, ἀνεβόα· τὴν σὴν εἰςακήκοα,
Κύριε, δυναστείαν, ὅτι πάντας τοῦ σῶσαι
Τοὺς Χριστούς σου ἐλήλυθας.

Ὁ ἐν προφήταις λαλήσας, καὶ διὰ νόμου κηρυχθεὶς
Πρώην τοῖς ἀτελέσι Θεὸς ἀληθὴς,
Ὁ παράκλητος τοῖς τοῦ λόγου ὑπηρέταις
Καὶ μάρτυσι γνωρίζεται σήμερον.

Σῆμα θεότητος φέρει τοῖς ἀποστόλοις,
Ἐν πυρὶ πνεῦμα κατεμερίσθη,
Καὶ ξέναις γλώσσαις ἐνέφηνεν,
Ὡς πατρόθεν θεῖον σθένος
Ἐρχόμενόν ἐστιν αὐτοκέλευστον.

Τὸ διὰ τὸν φόβον σου ληφθὲν,
Κύριε, ἐν γαστρὶ τῶν προφητῶν,
Καὶ κυηθὲν ἐπὶ γῆς πνεῦμα σωτηρίας,
Ἀποστολικὰς καρδίας κτίζει καθαράς,
Ἐν τοῖς πιστοῖς εὐθὲς ἐγκαινίζεται.
Φῶς γὰρ καὶ εἰρήνη, διότι τὰ σὰ προςταγματα.

Ἡ ἐπιφοιτήσασα ἰσχὺς σήμερον αὕτη,
Πνεῦμα ἀγαθὸν, πνεῦμα σοφίας Θεοῦ,
Πνεῦμα ἐκ πατρὸς ἐκπορευθὲν,
Καὶ δι' υἱοῦ πιστοῖς ἡμῖν πεφηνὸς,
Μεταδοτικὸν ἐν οἷς κατοικίζεται,
Φύσει τῆς ἐν ᾗ κατοπτεύεται ἁγιότητος.

Ναυτιῶν τῷ σάλῳ τῶν βιωτικῶν μελημάτων,
Συμπλόοις ποντούμενος ἁμαρτίαις,
Καὶ ψυχοφθόρῳ θηρὶ προςριπτόμενος,
Ὡς ὁ Ἰωνᾶς, Χριστέ, βοῶ σοι·
Ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Ἐκ τοῦ πνεύματός σου σάρκα ἐπὶ πᾶσαν,
Ὡ εἶπας, πλουσίως ἐξέχεας,
Καὶ ἐπλήσθη τῆς σῆς τὰ σύμπαντα γνώσεως,
Ὅτι ἐκ πατρὸς υἱὸς ἀῤῥεύστως ἔφυς,
Καὶ τὸ πνεῦμα ἀμερίστως πρόεισιν.

Οἱ ἐν καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες
Ὅσιοι παῖδες, τὸ πῦρ εἰς δρόσον μετέβαλον,
Διὰ τῆς ὑμνῳδίας οὕτω βοῶντες·
Εὐλογητὸς εἶ, κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ῥητορευόντων τὰ θεῖα μεγαλεῖα τῶν ἀποστόλων,
Τοῦ πνεύματος ἡ ἐνέργεια ἐνομίζετο μέθη
Τοῖς ἀπιστοῦσι, δι' ἧς τριὰς ἐκηρύττετο,
Ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Τὴν ἀδιαίρετον φύσιν ὀρθοδόξως ὑμνολογοῦμεν,
Θεὸν πατέρα τὸν ἄναρχον, τῆς αὐτῆς ἐξουσίας λόγον
Καὶ πνεῦμα, εὐλογητὸς εἶ, κράζοντες,
Ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προςομιλοῦσα βάτος,
Θεὸν ἐγνώρισε τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσῇ,
Καὶ παῖδας ζῆλος Θεοῦ τοὺς ἀναλώτους τῷ πυρὶ ὑμνῳδοὺς ἔδειξε·
Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον,
Καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ζωτικῆς ἐξ ὕψους βιαίας φερομένης ἠχητικῶς
Τοῦ πνεύματος τοῦ παναγίου ἀλιεῦσι πνοῆς,
Πυρίνων εἴδει γλωσσῶν, τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐῤῥητόρευον·
Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον,
Καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὡς μὴ θιγομένῳ προςβαίνοντες ἐν ὄρει,
Μὴ πεφρικότες πῦρ δειματοῦν,
Δεῦτε καὶ στῶμεν ἐν τῷ ὄρει Σιών,
Ἐν πόλει ζῶντος Θεοῦ,
Πνευματοφόροις μαθηταῖς νῦν συγχορεύοντες·
Πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε,
Καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μὴ τῆς φθορᾶς διαπεῖρα κυοφορήσασα,
Καὶ παντεχνήμονι λόγῳ σάρκα δανείσασα,
Μῆτερ ἀπείρανδρε, παρθένε θεοτόκε,

Λοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου
Πλαστουργοῦ σου, σὲ μεγαλύνομεν.

Ἐπιπαφλάζοντος πάλαι πυρίνου ἅρματος,
Ὁ ζηλωτὴς καὶ πυρίπνους χαίρων ὀχούμενος,
Τὴν νῦν ἐκλάμψασαν ἐπίπνοιαν ἐδήλου ἐξ ὕψους ἀποστόλοις,
Ὑφ' ἧς καταλαμφθέντες, τὴν τριάδα πᾶσιν ἐγνώρισαν.

Νόμου τῶν φύσεων δίχα, ξένον ἠκούετο·
Τῶν μαθητῶν τῆς μιᾶς γὰρ φωνῆς ἀπηχουμένης
Πνεύματος χάριτι, ποικίλως ἐνηχοῦντο λαοί,
Φυλαὶ καὶ γλῶσσαι, τὰ θεῖα μεγαλεῖα,
Τῆς τριάδος γνῶσιν μυούμενοι.

Extat in Galland. Bibl. Patr. Tom. XIII. p. 246 seq. — v. 11. *ἕως οὗ* Pentecostarium Romanum *ἕως ἄν*. — v. 14 *ἐπιφοιτήσασα*. Pent. *ἐπιδημήσασα*. — v. 16. *ἁρμονίας .... γνῶσιν*. Pent. *ἁρμονίαν ...... γνώσει*. — v. 26. *φέρει*. Pent. *φέρον*. — v. 30. *αὐτοκέλευστον*. Pent. *αὐτοκέλευθον*. — v. 45. *προσριπτόμενος*. Pent. *προσριπτούμενος*. — v. 50. Pentecost. Rom huncce versum sic exhibet: *Ἐπληρώθη τῆς σῆς ἡ σύμπασα γνώσεως κύριε*. — v. 59. *ἐκηρύττετο*. Pentec. *γνωρίσεται*. — v. 60. *Ὁ Θεός*. Pent. *εἷς Θεός*. — v. 61. *φύσιν....ὑμνολογοῦμεν*. Pent. *ῥῆσιν...θεολογοῦμεν*. — v. 67. *τοὺς ἀναλώτους*. Pent. *τρεῖς ἀναλώτους*. — v. 68. Pent. Rom. hunc versum sic praebet: *Ἔργα κυρίου τὸν κύριον ὑμνεῖτε*. Sic et infra. — v. 72. *εἴδει .... ἐῤῥητόρευον*. Pent. *ἤδη .... ἐῤῥητορεύοντο*. — v. 82. *διαπείρᾳ*. Pent. *διὰ πεῖραν*. — v. 95. *μυούμενοι*. Pentecost. *μυούμενα*.

XLII.

Τῇ κυριακῇ τῶν βαΐων.

Ἡ ἀκροστιχίς·
Ὡσαννά, Χριστὸς εὐλογημένος Θεός.

Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου νοτίδος ἄμοιροι,
Καὶ ἀνεκαλύφθη θαλάσσης κυμαινούσης τὰ θεμέλια
Τῇ καταιγίδι νεύματι, ταύτην γὰρ ἐπετίμησας·
Περιούσιον λαὸν διέσωσας
Ἄδοντα ἐπινίκιον ὕμνον σοι, κύριε.

Στόματος ἐκ νηπίων ἀκάκων καὶ θηλαζόντων αἶνον
Τῶν σῶν οἰκετῶν κατηρτίσω, καταλῦσαι τὸν ἀντίπαλον,

Καὶ ἐκδικῆσαι πάθει σταυροῦ τὴν πτῶσιν τοῦ πάλαι Ἀδάμ,
Διὰ ξύλου ἀναστῆσαι
Τοῦτον δὲ ᾄδοντα ἐπινίκιον ὕμνον σοι, κύριε.

Αἴνεσιν ἐκκλησία ὁσίων τῷ ἐνοικοῦντι Σιὼν σοι, Χριστὲ,
Προςφέρει· ἐν σοὶ δὲ Ἰσραὴλ τῷ ποιητῇ αὐτοῦ χαίρει,
Καὶ ὄρη, ἔθνη ἀντίτυπα, λιθοκάρδια, ἐκ προςώπου σου ἠγαλλιάσοντο
Ἄιδοντα ἐπινίκιον ὕμνον σοι, κύριε.

Νάουσαν ἀκρότομον προςτάγματι σῷ
Στερεὰν ἐθήλασε πέτραν Ἰσραηλίτης λαός·
Ἡ δὲ πέτρα σὺ Χριστὲ ὑπάρχεις καὶ ζωή,
Ἐν ᾧ ἐστερεώθη ἡ ἐκκλησία κράζουσα·
Ὡσαννὰ, εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Νεκρὸν τετραήμερον προςτάγματι σῷ
Ἐκ νεκάδων ἔντρομος ᾅδης ἀφῆκε Λάζαρον,
Ἡ ἀνάστασις Χριστὲ σὺ γὰρ καὶ ζωή,
Ἐν ᾧ ἐστερεώθη ἡ ἐκκλησία κράζουσα·
Ὡσαννὰ, εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Ἄισατε οἱ θεοπρεπῶς ἐν Σιών,
Καὶ εὐχὴν ἀπόδοτε Χριστῷ ἐν Ἱερουσαλήμ.
Αὐτὸς ἔρχεται ἐν δόξῃ μετὰ κυρίας,
Ἐν ᾧ ἐστερεώθη ἡ ἐκκλησία κράζουσα·
Ὡσαννὰ, εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Χριστὸς ὁ ἐρχόμενος ἐμφανῶς Θεὸς ἡμῶν,
Ἥξει καὶ οὐ χρονιεῖ ἐξ ὄρους κατασκίου, δασέος,
Κόρης τικτούσης ἀπειράνδρου, προφήτης πάλαι φησί·
Διὸ πάντες βοῶμεν· Δόξα τῇ δυνάμει σου, κύριε.

Ῥηξάτω εὐφροσύνην κραταιὰν ἐπ' ἔλεον ὄρη,
Καὶ πάντες βουνοὶ, καὶ ξύλα τοῦ δρυμοῦ ἐπικροτησάτω.
Χριστὸν αἰνεῖτε ἔθνη, καὶ τοῦτον πάντες λαοὶ ἐπαινοῦντες,
Βοᾶτε· Δόξα τῇ δυνάμει σου, κύριε.

Ἰσχὺν ὁ βασιλεύων τῶν αἰώνων κύριος ἐνδεδυμένος
Ἥξει, τῆς τούτου ὡραιότητός τε καὶ δόξης ἀσύνκριτος
Ὑπάρχει εὐπρέπεια ἐν Σιών. Διὸ πάντες βοῶμεν·
Δόξα τῇ δυνάμει σου, κύριε.

Σπιθαμῇ ὁ μετρήσας οὐρανὸν, δρακὶ δὲ γῆν,
Κύριος πάρεστι· Σιὼν γὰρ ἐξελέξατο.

Ἐν αὐτῇ δὲ οἰκεῖν καὶ βασιλεύειν ἡρέτισται,
Καὶ τῶν λαῶν τῶν ἐν πίστει βοώντων·
Δόξα τῇ δυνάμει σου, κύριε.

Τὴν Σιὼν ἐπ' ὄρους ἀνάβηθι ὁ εὐαγγελιζόμενος,
Καὶ τὴν Ἱερουσαλὴμ ὁ κηρύσσων ἐν ἰσχῦι ὕψωσας φωνήν,
Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.
Εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ καὶ σωτήριον ἔθνεσι.

Ὁ ἐν τοῖς ὑψίστοις καθήμενος, ἐπὶ τῶν Χερουβὶμ Θεός,
Καὶ ἐφορῶν ταπεινά, ἰδοὺ ἔρχεται ἐν δόξῃ μετὰ κυρίας,
Καὶ πληρωθήσεται τὰ πάντα θεϊκῆς αἰνέσεως αὐτοῦ.
Εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ καὶ σωτήριον ἔθνεσιν.

Σιὼν Θεοῦ ὄρος τὸ ἅγιον καὶ Ἱερουσαλὴμ
Κύκλῳ τοὺς ὀφθαλμούς σου ἆρον,
Καὶ ἴδε συνηγμένα τέκνα σου ἐν σοί.
Ἰδοὺ γὰρ ἥκασι μακρόθεν προςκυνῆσαι τῷ βασιλεῖ σου.
Εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ, καὶ σωτήριον ἔθνεσιν.

Ἐβόησαν ἐν εὐφροσύνῃ δικαίων τὰ πνεύματα·
Νῦν τῷ κόσμῳ διαθήκη καινὴ διατίθεται,
Καὶ ῥαντίσματι καινουργεῖται λαὸς θείου αἵματος.

Υπόδεξαι Ἰσραὴλ τοῦ Θεοῦ τὸ βασίλειον,
Καὶ ὁ βαίνων ἐν τῷ σκότει φῶς θεασάσθω μέγα,
Καὶ ῥαντίσματι καινουργείσθω λαὸς θείου αἵματος.

Λελυμένους σοὺς δεσμίους Σιὼν ἐξαπόστειλον,
Καὶ ἐκ λάκκου ἀγνωσίας ἀνύδρου ἐξάγαγε.
Καὶ ῥαντίσματι καινουργείσθω λαὸς θείου αἵματος.

Ὁ διασώσας ἐν πυρὶ τοὺς Ἀβραμιαίους σου παῖδας,
Καὶ τοὺς Χαλδαίους ἀνελὼν, οἷς ἀδίκως δικαίους ἐνήδρευσαν,
Ὑπερύμνητε κύριε ὁ Θεὸς ὁ τῶν πατέρων, εὐλογητὸς εἶ.

Γονυπετοῦντες οἱ λαοὶ, καὶ σὺν μαθηταῖς γεγηθότες,
Μετὰ βαΐων ὡσαννὰ τῷ υἱῷ Δαβὶδ ἐκραύγαζον,
Ὑπερύμνητε κύριε ὁ Θεὸς ὁ τῶν πατέρων, εὐλογητὸς εἶ.

Ἡ ἀπειρόκακος πληθὺς, ἔτι νηπιάζουσα φύσις,
Θεοπρεπῶς σε, βασιλεῦ Ἰσραὴλ καὶ ἀγγέλων ἀνύμνησεν·
Ὑπερύμνητε κύριε ὁ Θεὸς ὁ τῶν πατέρων, εὐλογητὸς εἶ.

Μετὰ βαΐων σε, Χριστὲ, κλάδοις ἐπεκρότει τὰ πλήθη,
Εὐλογημένος ὁ ἐλθὼν βασιλεὺς τῶν αἰώνων ἐβόα δὲ,
Ὑπερύμνητε κύριε ὁ Θεὸς ὁ τῶν πατέρων, εὐλογητὸς εἶ.

Εὐφράνθητι Ἱερουσαλὴμ, πανηγυρίσατε οἱ ἀγαπῶντες Σιών·
Ὁ βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας κύριος τῶν δυνάμεων ἦλθεν.
Εὐλαβείσθω πᾶσα ἡ γῆ ἐκ προςώπου αὐτοῦ καὶ βοάτω·
Εὐλογεῖτε τὰ ἔργα τὸν κύριον,
Καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νέον πῶλον ἐπιβεβηκὼς ὁ βασιλεύς σου Σιὼν ἐπέστη Χριστός·
Τὴν γὰρ ἀλόγιστον εἰδώλων πλάνην λῦσαι, τὴν ἀκάθεκτον
Ὁρμὴν ἀναστεῖλαι πάντων ἐθνῶν παραγέγονεν, εἰς τὸ μέλπειν·
Εὐλογεῖτε τὰ ἔργα τὸν κύριον,
Καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Θεός σου (χαῖρε Σιων σφόδρα) ἐβασίλευσεν εἰς τοὺς αἰῶνας Χριστός·
Οὗτος ὡς γέγραπται, πραῢς καὶ σώζων, δίκαιος λυτρωτὴς ἡμῶν
Ἦλθεν ἐπὶ πώλου ἵππον, θράσος ὀλέσαι ἐχθρῶν μὴ βοώντων·
Εὐλογεῖτε τὰ ἔργα τὸν κύριον
Καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σπανίζεται θείων περιβόλων τὸ παράνομον συνέδριον ἀπειθῶν,
Τὸν προσευχῆς Θεοῦ ἐπείπερ οἶκον σπήλαιον ἀπηργάσαντο λῃστῶν,
Ἐκ καρδίας τὸν λυτρωτὴν ἀπωσάμενοι, ᾧ βοῶμεν·
Εὐλογεῖτε τὰ ἔργα τὸν κύριον
Καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν, συστήσασθε ἑορτήν,
Καὶ ἀγαλλιώμενοι δεῦτε μεγαλύνωμεν Χριστὸν
Μετὰ βαΐων καὶ κλάδων ὕμνοις κραυγάζοντες·
Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου σωτῆρος ἡμῶν.

Ἔθνη ἵνα τί ἐφρυάξατε γραφάς; καὶ ἱερεῖς
Τί κενὰ ἐμελετήσατε; τίς οὗτος, εἴποντες, ᾧ παῖδες

Μετὰ βαΐων καὶ κλάδων ὕμνοις κραυγάζουσιν·
Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου σωτῆρος ἡμῶν.

Οὗτος ὁ Θεὸς, ᾧ παρόμοιος οὐδεὶς, δίκαιαν πᾶσαν ὁδὸν
Ἐξευρὼν δέδωκε τῷ ἠγαπημένῳ Ἰσραὴλ,
Μετὰ δὲ ταῦτα ἀνθρώποις συναναστράφη ὀφθείς.
Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου σωτῆρος ἡμῶν.

Σκάνδαλα τρίβους τί ἐχόμενα ὑμεῖς τιθέατε ἀπειθεῖς;
Πόδες ὀξεῖς ὑμῖν αἷμα τοῦ ἐκχέαι δεσπότου.
Ἀλλ' ἀναστήσεται πάντας σῶσαι τοὺς κραυγάζοντας·
Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου σωτῆρος ἡμῶν.

Conf. Gall. Bibl. XIII. p. 250 seq. — v. 25. *θεοπρεπῶς.* Sic codd. et Gallandus, qui tamen legi vult *θεοπρεπεῖς*, quae lectio recipienda esse videtur. — v. 89. *εὐλογεῖτε.* Sic conieci. Gall. *εὐλογεῖται.* — v. 93. *ἵππον.* Gallandus suadet lectionem: *ἱππεύων.*

XLIII.

Πρὸς Χριστόν.

Σὺ ὡς ποιμὴν ἥρπασας, σῶτερ, τὸν ἄνθρωπον,
Τὸν φθαρέντα ἤδη τετραήμερον,
Δημιουργὲ, λύκου ἐκ δεινοῦ ὄντως καὶ παμφάγου,
Ὡς δυνατός τε καὶ κύριος ἐν τούτῳ προδεικνύων
Τὴν παγκόσμιον δόξαν τῆς σῆς νῦν τριημέρου ἐγέρσεως.

Σὲ τὴν ζωὴν βλέπουσαι αἱ περὶ Μάρθαν, Χριστὲ,
Ἀνεβόων· εἰ ἧς ὧδε, κύριε, ὁ φωτισμὸς πάντων καὶ ζωὴ,
Ὅλως οὐ τεθνήκει, νεκρὸς οὐκ ὤφθη ὁ Λάζαρος,
Ζωὴ δὲ τῶν θανόντων σὺ, φιλάνθρωπε, πέλων,
Εἰς χαρὰν μετατρέπεις τὸ πένθος αὐτῶν.

Σὲ τὴν πηγὴν φρίττουσι, κύριε, ἄβυσσοι,
Σοὶ δουλεύει ἡ ὑγρὰ ἡ σύμπασα·
Σὲ πυλωροὶ τρέμουσι, Χριστὲ,
Ἅιδου δὲ τὰ κλεῖθρα τῷ κράτει σου διαλύονται,
Λαζάρου ἀναστάντος ἐκ νεκρῶν τῇ φωνῇ σου,
Παντοδύναμε σῶτερ φιλάνθρωπε.

Σὺ τῶν πιστῶν καύχημα πέλεις ἀνύμφευτε·
Σὺ προστάτις, σὺ καὶ καταφύγιον χριστιανῶν,
Τεῖχος καὶ λιμήν.
Πρὸς γὰρ τὸν υἱόν σου ἐντεύξεις φέρεις, πανάμωμε,
Καὶ σώζεις ἐκ κινδύνων τοὺς ἐν πίστει
Καὶ πόθῳ θεοτόκον ἁγνήν σε γινώσκοντας.

Σύ μου ἰσχὺς, κύριε, σύ μου καὶ δύναμις,
Σὺ Θεός μου, σύ μου ἀγαλλίαμα,
Ὁ πατρικοὺς κόλπους μὴ λιπὼν
Καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος,
Διὸ σὺν τῷ προφήτῃ Ἀμβακοὺμ σοι κραυγάζω·
Τῇ δυνάμει σου δόξα, φιλάνθρωπε.

Conf. Gall. Bibl. Tom. XIII. p. 257 et 258. Hoc carmen et sequentia Gallandus ex Triodio Romae ann. 1738. edito p. 435 seqq. exscripsit; sed tamen alium Cosmam harum odarum auctorem esse suspicatur. — v. 3. λόκου. λάκκου legere suadet Galland.

XLIV.

Ὠιδή.

Ὁ πρὶν ἐκ μὴ ὄντων παραγαγὼν τὴν σύμπασαν κτίσιν,
Καὶ γινώσκων τῶν καρδιῶν ταμεῖα,
Προλέγεις ὡς δεσπότης τοῖς μαθηταῖς τοῦ Λαζάρου τὴν κοίμησιν.

Τὸν ἄνθρωπον, φύσει οὐσιωθεὶς Χριστὲ ἐκ παρθένου,
Τοῦ Λαζάρου σὺ τὴν ταφὴν μαθεῖν ἐπηρώτας ὡς ἄνθρωπος,
Οὐκ ἀγνοῶν ὡς Θεὸς, ὅπου ἔκειτο.

Πιστούμενος, λόγε, τὴν σαυτοῦ ἀνάστασιν ὄντως,
Ὡς ἐξ ὕπνου τὸν προςφιλῆ ἀνέστησας ἤδη ὀδωδότα
Τὸν τεταρταῖον νεκρὸν ἐκ τοῦ μνήματος.

Τάξεις σε ἀγγέλων καὶ τῶν βροτῶν, ἀνύμφευτε μήτηρ,
Εὐφημοῦσιν ἀνελλειπῶς· τὸν κτίστην γὰρ τούτων ὥσπερ βρέφος
Ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν
Καὶ τὴν Αἰγυπτίαν μοχθηρίαν διαφυγὼν ὁ Ἰσραηλίτης
ἀνεβόα·
Τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Conf. Galland. Bibl. Patr. Tom. XIII. p. 256 seq.

XLV.

Ὠιδή.

Τῷ πατρὶ νέμων δόξαν,
Ὥςπερ οὐκ αὐτίθεος ἦσθα εὐχόμενος,
Τὸν περιεστῶτα σὺ πιστούμενος ὄχλον μακρόθυμε,
Τὴν εὐχαριστίαν τῷ σῷ πατρὶ προςαναφέρων,
Τῇ κελεύσει ἐγείρων τὸν Λάζαρον.

Ὦ φωνῆς θεοφθόγγου,
Θείας τε δυνάμεως, σῶτερ, τοῦ κράτους σου·
Δι' ἧς ᾅδου πύλας τοῦ παμφάγου θανάτου συνέτριψας.
Ἀλλ' ἐξάρπασόν με, ὥσπερ τὸν πρὶν, ἐκ τῶν παθῶν μου,
Τετραήμερον φίλον σου Λάζαρον.

Ἱκεσίαις Λαζάρου, Μάρθας καὶ Μαρίας τε,
Ἡμᾶς ἀξίωσον θεατὰς γενέσθαι τοῦ σταυροῦ,
Καὶ τοῦ πάθους σου, κύριε,
Καὶ τῆς λαμποφόρου τῶν ἡμερῶν καὶ βασιλίδος
Ἀναστάσεως τῆς σῆς, φιλάνθρωπε.

Μητρικὴν παῤῥησίαν τὴν πρὸς τὸν υἱόν σου κεκτημένη,
Πάναγνε, συγγενοῦς προνοίας τῆς ἡμῶν μὴ παρίδῃς,
δεόμεθα,
Ὅτι σε καὶ μόνην χριστιανοὶ τὸν δεσπότην
Ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ἵνα τί με ἀπώσω ἀπὸ τοῦ προςώπου σου, τὸ φῶς
τὸ ἄδυτον,
Καὶ ἐκάλυψέ με τὸ ἀλλότριον σκότος, τὸν δείλαιον;
Ἀλλ' ἐπίστρεψόν με καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου
Τὰς ὁδούς μου κατεύθυνον, δέομαι.

Extat in Galland. Bibl. Patr. Tom. XIII. p. 258.

XLVI.

Ὠιδή.

Μουσικῶν ὀργάνων συμφωνούντων
Καὶ λαῶν ἀπείρων προςκυνούντων εἰκόνι τῇ ἐνδιηρᾷ,
Τρεῖς παῖδες μὴ πεισθέντες τὸν κύριον ἀνύμνουν
Καὶ ἐδοξολόγουν εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ποιμὴν τὸν ἄρνα κατιχνεύσας
Καὶ ἐκ λύκου δεινοῦ ὀλετῆρος ἁρπάσας ὁ ἐπικρατὴς,
Φθαρέντα ἐκαινούργεις βοῶντά σοι·
Ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὡς βροτὸς τὸν τάφον ἐπεζήτεις,
Τὸν νεκρὸν ὡς πλάστης ἀναστήσας προςτάγματι δεσποτικῷ·
Ὃν ᾅδης κατεπλάγη βοῶντά σοι·
Ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Conf. Galland. Bibl. Patr. l. c. p. 258.

XLVII.

Ὠιδή.

Τὴν ἁγνὴν ἐνδόξως τιμήσωμεν λαοὶ θεοτόκον,
Τὴν τὸ θεῖον πῦρ ἐν γαστρὶ ἀφλέκτως συλλαβοῦσαν,
Ὕμνοις ἀσιγήτοις μεγαλύνωμεν.

Οἱ λαοὶ ἰδόντες βαδίζοντα νεκρὸν τεταρταῖον,
Ἐκπλαγέντες τῷ θαύματι ἀνεβόων τῷ λυτρωτῇ,
Θεόν σε ὕμνοις μεγαλύνοντες.

Προπιστῶν τὴν ἔνδοξον ἔγερσιν τὴν σὴν ὦ σωτήρ μου,
Νεκρὸν τετραήμερον ἐκ τοῦ ᾅδου ἐλευθεροῖς τὸν Λάζαρον,
Ἐν ὕμνοις μεγαλύνω σε.

Galland. Bibl. Patr. Tom. XIII. p. 259.

XLVIII.

Ὠιδή.

Κατακόσμησον τὸν νυμφῶνά σου Σιών,
Καὶ ὑπόδεξαι τὸν βασιλέα Χριστόν.
Ἄσπασαι τὴν Μαριὰμ τὴν ὑπουράνιον πύλην·
Αὕτη γὰρ θρόνος χερουβικὸς ἀνεδείχθη,
Αὕτη βαστάζει τὸν βασιλέα τῆς δόξης·
Νεφέλη φωτὸς ὑπάρχει ἡ παρθένος,
Φέρουσα ἐν σαρκὶ υἱὸν πρὸ ἑωσφόρου,
Ὃν λαβὼν Σιμεὼν ἐν ἀγκάλαις αὐτοῦ
Ἐκήρυξε λαοῖς, δεσπότην αὐτὸν εἶναι
Ζωῆς καὶ θανάτου καὶ σωτῆρα τοῦ κόσμου.

Legitur apud Galland Bibl. Patrum Tom. XIII. p. 259. et in Anthologio Romano mense Januario p. 190.

H.

Germanus.

XLIX.

Θεοτόκιον.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων·
Προκύψασα γὰρ ἡ παντάνασσα μητροπάρθενος
Ταῖς εὐλογίαις, καταστέφει τοὺς εὐφημοῦντας αὐτήν.
Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν,
Καὶ τὴν Βασιλίδα κροτήτωσαν ἐν ὕμνοις,
Βασιλέα τέξασαν τοὺς θανάτῳ κρατουμένους
Πρὶν ἀπολύσαι φιλανθρώπως εὐδοκήσαντα.
Ποιμένες καὶ διδάσκαλοι τὴν τοῦ καλοῦ ποιμένος
Ὑπεράγιον μητέρα συνελθόντες εὐφημήσωμεν.
Τὴν λυχνίαν τὴν χρυσαυγῆ,
Τὴν φωτοφόρον νεφέλην,
Τὴν τῶν Χερουβὶμ ὑπερτέραν,
Τὴν ἔμψυχον κυβωτόν,
Τὸν περίμορφον τοῦ Δεσπότου θρόνον,
Τὴν μανναδόχον χρυσέαν στάμνον,

Τὴν ζωηφόρον τοῦ Λόγου πλάκα,
Ἁπάντων τῶν Χριστιανῶν τὸ καταφύγιον
Ἄσμασι θεηγόροις ἐγκωμιάζοντες
Οὕτως εἴπωμεν· Πιλάτιον τοῦ Λόγου,
Ἀξίωσαν τοὺς ταπεινοὺς ἡμᾶς τῆς οὐρανῶν βασιλείας·
Οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Extat in Actis Sanctorum Jun. Tom. II. p. XXXVI.

J.

Joannes Damascenus.

L.

Εἰς τὴν Θεογονίαν.

Εὐεπίης μελίεσσιν ἐφύμνια ταῦτα λιγαίνει
Υἷα Θεοῦ, μερόπων εἵνεκα τικτόμενον
Ἐν χθονὶ, καὶ λύοντα πολύστονα πήματα κόσμου
Ἀλλ' ἄνα, ῥητῆρας ῥύεο τῶν δὲ πόνων.

Ἔσωσε λαὸν θαυματουργῶν δεσπότης,
Ὑγρὸν θαλάσσης κῦμα χερσώσας πάλαι.
Ἑκὼν δὲ τεχθεὶς ἐκ κόρης, τρίβον βατὴν
Πόλον τίθησιν ἡμῖν, ὃν κατ' οὐσίαν,
Ἰσόν τε πατρὶ καὶ βροτοῖς δοξάζομεν.

Ἤνεγκε γαστὴρ ἡγιασμένη λόγον,
Σαφῶς ἀφλέκτως ζωγραφουμένη βάτῳ,
Μιγέντα μορφῇ τῇ βροτησίᾳ Θεοῦ,
Εὔας τάλαιναν νηδὺν ἀρᾶς τῆς πάλαι
Λύοντα πικρᾶς, ὃν βροτοὶ δοξάζομεν.

Ἔδειξεν ἀστὴρ τὸν πρὸ ἡλίου λόγον,
Ἐλθόντα παῦσαι τὴν ἁμαρτίαν, μάγοις,
Σαφῶς πενιχρὸν εἰς σπέος, τὸν συμπαθῆ,
Σὲ σπαργάνοις ἑλικτὸν, ὃν γεγηθότες,
Εἶδον τὸν αὐτὸν, καὶ βροτὸν, καὶ κύριον.

Νεῦσον πρὸς ὕμνους οἰκετῶν, εὐεργέτα,
Ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὄφρυν,
Φέρων τε, παντεπόπτα, τῆς ἁμαρτίας
Ὕφερθεν ἀκλόνητον ἐστηριγμένους,
Μάκαρ, μελῳδοὺς τῇ βάσει τῆς πίστεως.

Νύμφης πανάγνου τὸν πανόλβιον τόκον
Ἰδεῖν ὑπὲρ νοῦν ἠξιωμένος χορὸς
Ἀγραυλὸς ἐκλονεῖτο τῷ ξένῳ τρόπῳ,
Τάξιν μελῳδοῦσάν τε τῶν ἀσωμάτων
Ἄνακτα Χριστὸν, ἀσπόρως σαρκούμενον.

Ὕψους ἀνάσσων οὐρανῶν, εὐσπλαγχνίᾳ
Τελεῖ καθ' ἡμᾶς ἐξ ἀνυμφεύτου κόρης,
Ἄϋλος ὢν τὸ πρόσθεν, ἀλλ' ἐπ' ἐσχάτων
Λόγος παχυνθεὶς σαρκὶ, τὸν πεπτωκότα
Ἵνα πρὸς αὐτὸν ἑλκύσῃ πρωτόκτιστον.

Γένους βροτείου τὴν ἀνάπλασιν πάλαι
Ἄιδων προφήτης Ἀββακοὺκ προμηνύει,
Ἰδεῖν ἀφράστως ἀξιωθεὶς τὸν τύπον.
Νέον βρέφος γὰρ ἐξ ὄρους τῆς παρθένου
Ἐξῆλθε λαῶν εἰς ἀνάπλασιν λόγος.

Ἴσος προῆλθες τοῖς βροτοῖς ἑκουσίως,
Ὕψιστε, σάρκα προσλαβὼν ἐκ παρθένου,
Ἰὸν καθάραι τῆς δρακοντίας κάρας,
Ἄγων ἅπαντας πρὸς σέλας ζωηφόρον,
Θεὸς πεφυκὼς, ἐκ πυλῶν ἀνηλίων.

Ἔθνη τὰ πρόσθεν τῇ φθορᾷ βεβυσμένα,
Ὄλεθρον ἄρδην δυσμενοῦς πεφευγότα,
Ὑψοῦτε χεῖρας σὺν κρότοις ἐφυμνίοις,
Μόνον σέβοντες Χριστὸν ὡς εὐεργέτην,
Ἐν τοῖς καθ' ἡμᾶς συμπαθῶς ἀφιγμένον.

Ῥίζης φυεῖσα τοῦ Ἰεσσαὶ, παρθένε,
Ὅρους παρῆλθες τῶν βροτῶν τῆς οὐσίας,
Πατρὸς τεκοῦσα τὸν πρὸ αἰώνων λόγον,
Ὡς ηὐδόκησεν αὐτὸς, ἐσφραγισμένην
Νηδὺν διελθεῖν τῇ κενώσει τῇ ξένῃ.

Ἐκ νυκτὸς ἔργων ἐσκοτισμένης πλάνης,
Ἱλασμὸν ἡμῖν, Χριστὲ, τοῖς ἐγρηγόρως
Νῦν συντελοῦσιν ὕμνον ὡς εὐεργέτῃ,
Ἐλθοῖς πορίζων, εὐχερῆ τε τὴν τρίβον,
Καθ' ἣν ἀνατρέχοντες εὕροιμεν κλέος.

Ἀπηνὲς ἔχθος τὸ πρὸς αὐτὸν, δεσπότης,
Τεμὼν διαμπὰξ σαρκὸς ἐν παρουσίᾳ,
Ἵνα κρατοῦντος ὤλεσε θυμοφθόρου,
Κόσμον συνάπτων ταῖς ἀΰλοις οὐσίαις,
Τιθεὶς προσηνῆ τὸν τεκόντα τὴν κτίσιν.

Ὁ λαὸς εἶδεν, ὁ πρὶν ἠμαυρωμένος,
Μεθ' ἡμέραν φῶς τῆς ἄνω φρυκτωρίας,
Ἔθνη Θεῷ δὲ κλῆρον υἱὸς προσφέρει.
Νέμων ἐκεῖσε τὴν ἀπόῤῥητον χάριν,
Οὗ πλεῖστον ἐξήνθησεν ἡ ἁμαρτία.

Ναίων Ἰωνᾶς ἐν μύχοις θαλαττίοις
Ἐλθεῖν ἐδεῖτο καὶ ζάλην ἀπαρκέσαι·
Νυγεὶς ἐγὼ δὲ τοῦ τυραννοῦντος βέλει,
Χριστὲ, προςαυδῶ τὸν κακῶν ἀναιρέτην,
Θᾶττον μολεῖν σε τῆς ἐμῆς ῥαθυμίας.

Ὃς ἦν ἐν ἀρχῇ πρὸς Θεὸν, Θεὸς λόγος,
Νυνὶ κρατύνει μὴ σθένουσαν τὴν πάλαι,
Ἰδὼν φυλάξαι τὴν καθ' ἡμᾶς οὐσίαν
Καθεὶς ἑαυτὸν, δευτέραν κοινωνίαν,
Αὖθις προφαίνων τῶν παθῶν ἐλευθέραν.

Ἶκται δι' ἡμᾶς Ἀβραὰμ ἐξ ὀσφύος
Λυγρῶς πεσόντας ἐν ζόφῳ τῶν πταισμάτων,
Υἱοὺς ἐγεῖραι τῶν κάτω νενευκότων,
Ὁ φῶς κατοικῶν, καὶ φάτνην παρ' ἀξίαν,
Νῦν εὐδοκήσας εἰς βροτῶν σωτηρίαν.

Τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ,
Ἄπλητα θυμαίνοντος ἠγκιστρωμένοι
Παῖδες τυράννου δύςθεον γλωσσαλγίαν,
Οἷς εἴκαθε πῦρ ἄσπετον, τῷ δεσπότῃ
Λέγουσιν· εἰς αἰῶνας εὐλογητὸς εἶ.

Ὑπηρέτας μὲν ἐμμανῶς καταφλέγει,
Σώζει δὲ παφλάζουσα ῥοιζηδὸν νέους,
Ταῖς ἑπταμέτροις καύσεσι πυργουμένη,
Οὓς ἔστεφε φλὸξ ἄφθονος, τοῦ κυρίου
Νέμοντος εὐσεβείας εἵνεκα δρόσον.

Ἀρωγὲ Χριστὲ, τὸ βροτοῖς ἐναντίον
Πρόβλημα, τὴν σάρκωσιν ἀῤῥήτως ἔχων,
Ἤσχυνας ὄλβον τῆς θεώσεως φέρων,
Μορφούμενος νῦν· ἧς τινος δι' ἐλπίδα
Ἄνωθεν εἰς κευθμῶνας ἤλθομεν ζόφου.

Τὴν ἀγριωπὸν ἀκρατῶς γαυρουμένην,
Ἄσεμνα βακχεύσασαν ἐξοιστρουμένην,
Κόσμου καθεῖλεν πανσθενῶς ἁμαρτίαν,
Οὓς εἵλκυσεν πρὶν, σήμερον τῶν ἀρκύων,
Σώζεις δὲ σαρκωθεὶς ἑκὼν, εὐεργέτα.

Μήτραν ἀφλέκτως εἰκονίζουσι κόρης
Οἱ τῆς παλαιᾶς πυρπολούμενοι νέοι,
Ὑπερφυῶς κύουσαν ἐσφραγισμένην.
Ἄμφω δὲ δρῶσα θαυματουργίᾳ μιᾷ,
Λαοὺς πρὸς ὕμνον ἐξανίστησι χάρις.

Λύμην φυγοῦσα τοῦ θεοῦσθαι τὴν πλάνην,
Ἄληκτον ὑμνεῖ τὸν κενούμενον λόγον
Νεανικῶς ἅπασα σὺν τρόμῳ κτίσις,
Ἄδοξον εὖχος δειματουμένη φέρειν,
Ῥευστὴ γεγῶσα, κἂν σοφῶς ἐκαρτέρει.

Ἥκεις πλανῆτιν πρὸς νομὴν ἐπιστρέφων,
Τὴν ἀνθοποιὸν ἐξ ἐρημαίων λόφων,
Ἡ τῶν ἐθνῶν ἔγερσις, ἀνθρώπων φύσιν
Ῥώμην βιαῖαν τοῦ βροτοκτόνου σβέσαι,
Ἀνὴρ φανείς τε καὶ Θεὸς, προμηθείᾳ.

Στέργειν μὲν ἡμᾶς ὡς ἀκίνδυνον φόβῳ,
Ῥᾶον σιωπὴν, τῷ πόθῳ δὲ, παρθένε,
Ὕμνους ὑφαίνειν συντόνως τεθειμένους
Ἐργῶδές ἐστιν, ἀλλὰ καὶ, μῆτερ, σθένος,
Ὅση πέφυκεν ἡ προαίρεσις, δίδου.

Τύπους ἀφεγγεῖς καὶ σκιὰς παρῃγμένας,
Ὦ μῆτερ ἁγνὴ τοῦ λόγου, δεδορκότες,
Νέου φανέντος ἐκ πύλης κεκλεισμένης,
Δοξούμενοί τε τῆς ἀληθείας φάους,
Ἐπαξίως σὴν εὐλογοῦμεν γαστέρα.

Πόθου τετευχὼς καὶ Θεοῦ παρουσίας
Ὁ χριστοτερπὴς λαὸς ἠξιωμένος
Νῦν ποτνιᾶται τῆς παλιγγενεσίας,
Ὡς ζωοποιοῦ, τὴν χάριν δὲ, παρθένε,
Νέμοις ἄχραντε, προσκυνῆσαι τὸ κλέος.

Extant carmina Joannis in ejusdem Operibus ed. Le Quien Parisiis 1712. Tom. I. p. 673 sqq. De poeta nostro Rambach Anth. I. p. 139 haec habet: „Ein berühmter Name, wie in der Geschichte der christlichen Theologie, so auch in der Ge-

schichte des Kirchengesangs, zu dessen Bereicherung er mit Hülfe seines Freundes Cosmas sehr eifrig wirkte. Die griechische Kirche hat ihm längst die erste Stelle unter den Liederdichtern zuerkannt und legt ihm nebst dem Cosmas und Theophanes vorzugsweise den Namen Sänger (melodi) bei. In den öffentlichen Gesangbüchern heisst er zuweilen die göttliche und lieblich tönende Leier, die gesangreiche Cicade, die hellsingende Nachtigall." Exstant carmina Joannis etiam in libro supra citato: Poetae Graeci veteres Colon. 1614. T. II. p. 737 seqq. — In epigrammate carmini superscripto *πόνων*. Alii *κακῶν*. — v. 113. *φύσιν*. Le Quien *φύσις*.

LI.

Εἰς τὰ Θεοφάνια.

Σήμερον ἀχράντοιο βαλὼν θεοφεγγεῖ πυρσῷ
Πνεύματος ἐνθάπτει νάμασιν ἀμπλακίην,
Φλέξας παμμεδέοντος ἐὺς πάϊς, ἠπιόων δὲ,
Ὑμνηταῖς μελέων τῶνδε δίδωσι χάριν.

Στείβει θαλάσσης κυματούμενον σάλον,
Ἤπειρον αὖθις Ἰσραὴλ δεδειγμένον,
Μέλας δὲ πόντος τριστάτας Αἰγυπτίων
Ἔκρυψεν ἄρδην ὑδατόστρωτος τάφος,
Ῥώμῃ κραταιᾷ δεξιᾶς τοῦ ὑψίστου.

Ὄρθρου φανέντος τοῖς βροτοῖς σελασφόρου,
Νῦν ἐξ ἐρήμου πρὸς ῥοὰς Ἰορδάνου,
Ἄναξ, ὑπέσχες ἡλίου σὸν αὐχένα,
Χώρου ζοφώδους τὸν γενάρχην ἁρπάσαι,
Ῥύπου τε παντὸς ἐκκαθᾶραι τὴν κτίσιν.

Ἄναρχε, ῥείθροις συνταφέντα σοι, λόγε,
Νέον περαίνεις τὸν φθαρέντα τῇ πλάνῃ.
Ταύτην ἀφράστως πατρόθεν δεδεγμένος
Ὄπα κρατίστην· οὗτος ἠγαπημένος
Ἶσος τέ μοι παῖς χρηματίζει τὴν φύσιν.

Ὅσοι παλαιῶν ἐκλελύμεθα βρόχων,
Βορᾶς λεόντων συντεθλασμένων μύλας,
Ἀγαλλιῶμεν καὶ πλατύνωμεν στόμα
Λόγῳ, πλέκοντες ἐκ λόγων μελῳδίας,
Ὧι τῶν πρὸς ἡμᾶς ἥδεται δωρημάτων.

Νέκρωσιν ὁ πρὶν ἐμφυτεύσας τῇ κτίσει
Θηρὸς κακοῦργος σχηματισθεὶς εἰς φύσιν
Ἐπισκοτεῖται σαρκικῇ παρουσίᾳ,
Ὄρθρῳ φανέντι προςβαλὼν τῷ δεσπότῃ,
Θλᾷν τὴν ἑαυτοῦ δυςμενεστάτην κάραν.

Ἕλκει πρὸς αὐτὸν τὴν θεόδμητον φύσιν,
Γαστρὸς τυράννου συγκεχωσμένην ὅροις.
Γεννᾶται αὖθις γηγενῶν ἀναπλάσει,
Ἔργον φέριστον ἐκτελῶν ὁ δεσπότης.
Ἵκται γὰρ αὐτὴν ἐξαλεξῆσαι θέλων.

Πυρσῷ καθαρθεὶς μυστικῆς θεωρίας,
Ὑμνῶν προφήτης τὴν βροτῶν καινουργίαν,
Ῥήγνυσι γῆρυν πνεύματι κροτουμένην,
Σάρκωσιν ἐμφαίνουσαν ἄῤῥητον λόγου,
Ὧι τῶν δυναστῶν τὰ κράτη συνετρίβη.

Πεμφθεὶς πρὸς πατρὸς παμφαέστατος λόγος,
Νυκτὸς διῶξαι τὴν καχέσπερον σχέσιν
Ἔκριζον ἥκεις καὶ βροτῶν ἁμαρτίαν,
Υἷας συνελκύσαι τε τῇ σῇ βαπτίσει,
Μάκαρ, φαεινοὺς ἐκ ῥοῶν Ἰορδάνου.

Αὐτὸν προςιδὼν τὸν περίκλυτον λόγον
Τρανῶς ὁ κήρυξ ἐκβοᾶται τῇ κτίσει·
Ουτος προών μου, δεύτερος τῷ σαρκίῳ,
Σύμμορφος ἐξέλαμψεν ἐνθέῳ σθένει,
Ἔχθιστον ἡμῶν ἐξελεῖν ἁμαρτίαν.

Νομὴν πρὸς αὐτὴν τὴν φερέσβιον φέρων
Θηρᾷ, δρακόντων φωλεοῖς ἐπιτρέχων,
Ἄπλητα κύκλα καββαλὼν Θεὸς λόγος,
Πτέρνῃ τὲ τὸν πλήττοντα παμπήδην γένος,
Τοῦτον καθειργνὺς ἐκσαώζει τὴν κτίσιν.

Ἐχθροῦ ζοφώδους καὶ βεβορβορωμένου
Ἰὸν, καθάρσει πνεύματος λελουμένοι,
Νέαν προςωρμίσθημεν ἀπλανῆ τρίβον,
Ἄγουσαν ἀπρόςιτον εἰς θυμηδίαν
Μόνοις προςιτὴν, οἷς Θεὸς κατηλλάγη.

Ἀθρῶν ὁ πλάστης ἐν ζόφῳ τῶν πταισμάτων,
Σειραῖς ἀφύκτοις, ὃν διαρθροῖ δακτύλοις,
Ἵστησιν ἀμφ' ὤμοισιν ἐξάρας ἄνω,
Νῦν ἐν πολυῤῥύτοισι δίναις ἐκπλύνων
Αἴσχους παλαιοῦ τῆς Ἀδὰμ καχεξίας.

Μετ' εὐσεβείας προςδράμωμεν εὐτόνως
Πηγαῖς ἀχράντοις ῥεύσεως σωτηρίου,
Λόγον κατοπτεύοντες, ἐξ ἀκηράτου
Ἄντλημα προςφέροντα δίψης ἐνθέου,
Κόσμου προσηνῶς ἐξακεύμενον νόσον.

Ἱμερτὸν ἐξέφηνε σὺν πανολβίῳ
Ἠχῷ πατὴρ, ὃν γαστρὸς ἐξηρεύξατο.
Ναί φησιν· οὗτος συμφυὴς γόνος πελῶν,
Φώταυγος ἐξώρουσεν ἀνθρώπων γένους
Λόγος τέ μου ζῶν καὶ βροτὸς προμηθείᾳ.

Ἐκ ποντίου λέοντος ὁ τριέσπερος ξένος
Προφήτης, ἐγκάτοις φλοιδόμενος,
Αὖθις προῆλθε, τῆς παλιγγενεσίας
Σωτηρίαν δράκοντος ἐκ βροτοκτόνου
Πᾶσι προφαίνων τῶν χρόνων ἐπ' ἐσχάτων.

Ἀνειμένων πόλοιο παμφαῶν πτυχῶν,
Μύστης ὁρᾷ πρὸς πατρὸς ἐξικνούμενον,
Μένον τε πνεῦμα τῷ παναχράντῳ λόγῳ,
Ἐπελθὸν ὡς πέλειαν ἀφράστῳ τρόπῳ,
Δήμοις τε φαίνει προςδραμὸν τῷ δεσπότῃ.

Ἔφλεξε ῥείθρῳ τῶν δρακόντων τὰς κάρας
Ο τῆς καμίνου τὴν μετάρσιον φλόγα
Νέους φέρουσαν εὐσεβεῖς κρατεύνασας,
Τὴς δυςκάθεκτον ἀχλὺν ἐξ ἁμαρτίας
Ὅλην πλύνει δὲ τῇ δρόσῳ τοῦ πνεύματος.

Σὲ ζωγραφοῦσαν τὴν Ἀσσύριον φλόγα
Ἐκστῶσαν ἵστης εἰς δρόσον μετηγμένην,
Ὕδωρ, ὅθεν νῦν ἀμφιέσσαο φλέγον,
Σίντον κάκιστον, Χριστὲ, προςκεκευθμένον,
Πρὸς τὴν ὄλισθον ἐκκαλούμενον τρίβον.

Ἀποῤῥαγέντος τοῦ Ἰορδάνου πάλαι,
Ἰσθμῷ περᾶται λαὸς Ἰσραηλίτης,
Σὲ τὸν κράτιστον ἐμφοροῦντα τὴν κτίσιν,
Ἠπειγμένως νῦν ἐν ῥοαῖς διαγράφων
Πρὸς τὴν ἄῤῥευστον καὶ ἀμείνονα τρίβον.

Ἴδμεν τὸ πρῶτον τὴν πανώλεθρον κλύσιν,
Οἰκτρῶς σε πάντων πρὸς φθορὰν παρεισάγειν,
Ὦ τριςμέγιστα χρηματίζων καὶ ξένα,
Νῦν δὲ κλύσαντα, Χριστὲ, τὴν ἁμαρτίαν
Δι' εὐπάθειαν καὶ βροτῶν σωτηρίαν.

Ἐλευθέρα μὲν ἡ κτίσις γνωρίζεται,
Υἱοὶ δὲ φωτὸς οἱ πρὶν ἐσκοτισμένοι·
Μόνος στενάζει τοῦ σκότους ὁ προστάτης,
Νῦν εὐλογείτω συντόνως τὸν αἴτιον
Ἡ πρὶν τάλαινα τῶν ἐθνῶν παγκληρία.

Τριττοὶ θεουδεῖς ἐμπύρως δροσούμενοι
Αἴγλῆντα τριτταῖς παμφαῶς ἁγιστίαις
Σαφῶς ἐδήλουν τὴν ὑπέρτατον φύσιν
Μίξει βροτείᾳ, πυρπολοῦσαν ἐν δρόσῳ,
Εὐκτῶς ἅπασαν τὴν ὀλέθριον πλάνην.

Λευχειμονείτω πᾶσα γήϊνος φύσις,
Ἐκ πτώσεως νῦν οὐρανῶν ἐπηρμένη.
Ὧι γὰρ τὰ πάντα συντετήρηται λόγῳ
Νάουσι ῥείθροις ἐκπλυθεῖσα πταισμάτων,
Τῶν πρὶν πέφευγε παμφαῶς λελουμένη.

Ὢ τῶν ὑπὲρ νοῦν τοῦ τοκοῦ σου θαυμάτων,
Νύμφη πάναγνε, μῆτερ εὐλογημένη,
Δι' ἧς τυχόντες παντελοῦς σωτηρίας,
Ἐπάξιον κροτοῦμεν ὡς εὐεργέτην,
Δῶρον φέροντες ὕμνον εὐχαριστίας.

Ἴδμεν τὰ Μωσεῖ τῇ βάτῳ δεδειγμένα,
Δεῦρο ξένοις θεσμοῖσιν ἐξειργασμένα,
Ὡς γὰρ σέσωστο πυρφοροῦσα παρθένος,
Σελασφόρον τεκοῦσα τὸν εὐεργέτην,
Ἰορδάνου τε ῥεῖθρα προςδεδειγμένα.

Χρίεις τελειῶν τὴν βρότειον οὐσίαν,
Ἄναξ ἄναρχε, πνεύματος κοινωνίᾳ,
Ῥοαῖς ἀχράντοις ἐκκαθάρας, καὶ σκότους,
Ἰσχὺν θριαμβεύσας τε τὴν ἐπηρμένην,
Νῦν εἰς ἄληκτον ἐξαμείβεαι βίον.

Legitur in Joannis Operibus l. c. p. 676 seqq. — v. 130. *ἐξαμείβεαι.* Alii *ἐξαμείβαιαι.*

LII.

Εἰς τὴν Πεντηκοστήν.

Θειογενὲς Λόγε, πνεῦμα παράκλητον πάλιν ἄλλον
Ἐκ γενέτου κόλπων ἧκας ἐπιχθονίοις,
Οἷα πυρὸς γλώσσῃσι φέρον θεότητος ἄϋλον,
Σῆμα τῆς φύτλης καὶ χάριν ὑμνοπόλοις.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ
Ἐῤῥητόρευσε τὸν θεόγραφον νόμον.
Ἰλὺν γὰρ ἐκτινάξας, ὄμματος νόου
Ὁρᾷ τὸν ὄντα καὶ μυεῖται πνεύματος
Γνῶσις γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

Ἔφη τὸ σεπτὸν καὶ σεβάσμιον στόμα·
Νοσφισμὸς ὑμῖν οὐ γενήσεται, φίλοι,
Ἐγὼ γὰρ εἰς πατρῷον ὕψιστον θρόνον
Συνεδριάζων, ἐκχεῶ τοῦ πνεύματος
Λάμψαι ποθοῦσι τὴν χάριν τὴν ἄφθονον.

Ὅρος βεβηκὼς ἀτρεκέστατος Λόγος
Γαληνόμορφον ἐκτελεῖ τὴν καρδίαν,
Ἔργον γὰρ ἐκπεράνας εὔφρανε φίλους
Πνοῇ βιαίᾳ καὶ πυρὸς γλωττήμασι,
Νείμας τὸ πνεῦμα Χριστός, ὡς ὑπέσχετο.

Ἔῤῥηξε γαστρὸς ἠτεκνωμένης πέδας,
Ὕβριν τε δυςκάθεκτον εὐτεκνουμένης
Μόνη προσευχὴ τῆς προφήτιδος πάλαι,
Ἄννης, φερούσης πνεῦμα συντετριμμένον
Πρὸς τὸν δυνάστην καὶ Θεὸν τῶν γνώσεων.

Ἄληπτός ἐστιν ἡ θεαρχικωτάτη.
Ῥήτορας γὰρ ἐξέφηνε τοὺς ἀγραμμάτους,
Ἅλις σοφιστὰς συστομίζοντας λόγῳ,
Καὶ τῆς βαθείας νυκτὸς ἐξαιρουμένους
Λαοὺς ἀπείρους ἀστραπὴ τοῦ πνεύματος.

Ἦν ἐκπορευτὸν ἐξ ἀγεννήτου φάους
Τὸ πανστενουργόφωτον, ἄφθιτον σέλας,
Ὡς τὴν δι' υἱοῦ πατρικῆς ἐξουσίας
Νῦν ἐμφανίζει συμφυῆ φρυκτωρίαν,
Πυρώδης ἦχος ἐν Σιὼν τοῖς ἔθνεσιν.

Ἄναξ ἀνάκτων, οἷος ἐξ οἵου, μόνος
Λόγος προελθὼν πατρὸς ἐξ ἀναιτίου,
Ἰσοσθενές σου πνεῦμα τοῖς ἀποστόλοις
Νημερτὲς ἐξέλαμψας ὡς εὐεργέτης
Ἄιδουσι δόξαν τῷ κράτει σου, κύριε.

Λουτρὸν τὸ θεῖον τῆς παλιγγενεσίας
Λόγῳ κεραννὺς συντεθειμένῃ φύσει,
Ὀμβροβλυτεῖς μοι ῥεῖθρον ἐξ ἀκηράτου
Νενυγμένης σου πλευρᾶς, ὦ Θεοῦ λόγε,
Ἐπισφραγίζων τῇ ζέσει τοῦ πνεύματος.

Κάμπτει τὰ πάντα τῷ παρακλήτῳ γόνυ
Γόνῳ τε πατρὸς πατρὶ συμφυεστάτῳ.
Ἐν γὰρ προςώποις οἶδε τρίτοις οὐσίαν
Νημερτὲς ἀπρόςιτον, ἄχρονον, μίαν.
Ἔλαμψε φῶς γὰρ ἡ χάρις τοῦ πνεύματος.

Τελεῖσθε πάντες τῇ θεαρχικωτάτῃ,
Ὅσοι λατρευταὶ τρισσοφεγγοῦς οὐσίας.
Ὑπερφυῶς τελεῖ γὰρ ὡς εὐεργέτης,
Καὶ πυρσομορφοῖ Χριστὸς εἰς σωτηρίαν,
Ὅλην πορίζων τὴν χάριν τοῦ πνεύματος.

Λυτήριον κάθαρσιν ἀμπλακημάτων,
Πυρίπνοον δέξασθε πνεύματος δρόσον,
Ὦ τέκνα φωτόμορφα τῆς ἐκκλησίας.
Νῦν ἐξ Σιὼν γὰρ ἐξελήλυθεν νόμος,
Ἡ γλωσσοπυρσόμορφος πνεύματος χάρις.

Καθώςπερ ηὐδόκησεν αὐτεξουσίως
Ἀδέσποτον κάτεισι πνεῦμα πατρόθεν,
Σοφίζον ἐν γλώσσῃσι τοὺς ἀποστόλους,
Ἐπισφραγίζον τὸν φερέσβιον Λόγον,
Πατρόθεν ὀξύμορφον, ὃν πατὴρ ἔφη.

Ἴῆτο τὰς φρένας μὲν ἐξ ἁμαρτίας,
Χ' αὐτῷ κατεσκεύαζε τῶν ἀποστόλων
Θεὸς Λόγος, πάνταρχος, ἀχράντῳ δόμῳ·
Ὁμοσθενοῦς δὲ καὶ συνουσιωμένου
Νῦν ἐγκατοικίζεται πνεύματος φάος.

Ἱλασμὸς ἡμῖν, Χριστέ, καὶ σωτηρία
Ὁ δεσπότης ἔλαμψας ἐκ τῆς παρθένου,
Ἵν' ὡς προφήτην θηρὸς ἐκ θαλαττίου
Στένων Ἰωνᾶν, τῆς φθορᾶς διαρπάσῃς,
Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

Ἱμερτὸν ἡμῖν εὐθὲς ἐν τοῖς ἐγκάτοις
Αἰωνίως ἕξουσι πνεῦμα καινίσοις,
Πατροπροβλήτως πάντοθεν συνημμένον,
Ὕλης ἀπεχθοῦς καυστικὸν μολυσμάτων,
Ῥύπου τε παντὸς ῥυπτικὸν, παντοκράτορ.

Ὀρεκτὸν ἀξίωμα τοῖς ἀποστόλοις
Σιωνίταις, μίμνουσί σου παρουσίαν,
Γνώρισμα, πνεῦμα, πατρογεννήτου Λόγου,
Λέσχην ἀπηνῆ τῶν ἐθνῶν ποπτυσμάτων,
Ὤκιστα δεικνὺς πυρπνόως καθιδρύῃ.

Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος,
Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας.
Ἡ τοῦ παρακλήτου δὲ φωσφόρος χάρις
Σεβασμιάζει τοῦ βοᾶν, τριὰς μόνη,
Ἰσοσθενὲς, ἄναρχος, εὐλογητὸς εἶ.

Φωνὴν προφητόφθεγκτον ἠγνοηκότες
Ἔφασκον οἰνότευκτον ἄφρονες μέθην,
Ῥήσεις ξενηκούσθησαν ὡς ἀποστόλων.
Οἱ εὐσεβεῖς δέ σοι βοῶμεν ἐνθέως·
Νεουργὲ τοῦ σύμπαντος, εὐλογητὸς εἶ.

Θέσπιν κατεβρόντησεν ὁ βλέπων ὄπα,
Ἔνθους Ἰωὴλ, τοῦ θεαρχικωτάτου,
Οἷς ἐκχεῶ, φήσαντος, οἵαπερ Λόγον,
Τοῦ πνεύματός μου συμβοήσουσι· φυσις
Ἡ τρισσοφεγγόφωτος, εὐλογητὸς εἶ.

Τριττὴ μὲν εὐμοίρησεν ὡρῶν τὴν χάριν,
Ὅπως ἐπεμφήνειε, τρεῖς ὑποστάσεις
Σέβειν ἐν ἁπλότητι τῆς ἐξουσίας.
Ἀλλ' ἐν μιᾷ νῦν ἡμερῶν τῇ κυρίᾳ,
Υἱὸς, πατὴρ καὶ πνεῦμα, εὐλογητὸς εἶ.

Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα
Ὁ τρισσοφεγγὴς τῆς θεαρχίας τύπος.
Ὑμνοῦσι παῖδες· εὐλογεῖτε τὸν μόνον
Σωτῆρα καὶ παντουργὸν ὡς εὐεργέτην
Ἡ δημιουργηθεῖσα σύμπασα κτίσις.

Μνήμην ὁ Χριστὸς τῶν βρωτοσσόων ἐπῶν,
Ἃ πατρακουσθεὶς τοῖς ἀποστόλοις ἔφη,
Τὸ πνεῦμα τεύχει γλωσσοπυρσεύτῳ Θεῷ
Ἐφίζον, εὐλογητὸν οἰκειουμένη,
Ἠλλοτριωμένη δὲ μέλπει σε κτίσις.

Σωτηριωδῶς, αὐτοδεσπότως ἰὸν
Φῶς αὐτολαμπὲς καὶ παρεκτικὸν φάους
Ὑπάρχον, ἧκες ἐμφοροῦν ἀποστόλους,
Τιμῆεν ὡς ἄημα τοῖς σοῖς οἰκέταις
Λελιπαρημένον τε πνεῦμα προςνέμοις.

Ἦσε προφητῶν πνευματέμφορον στόμα
Σὴν σωματωδῶς, ὦ μέδων, εὐδημίαν,
Καὶ πνεῦμα κόλπων πατρικῶν προηγμένον,
Ἄκτιστον, συμπλάστουργον, σύνθρονον σέθεν,
Ἱεὶς ἐνανθρωπήσεως πιστοῖς σέβας.

Χαίροις, ἄνασσα, μητροπάρθενον κλέος,
Ἅπαν γὰρ εὐδίνητον, εὔλαλον στόμα
Ῥητορεῦον οὐ σθένει σε μέλπειν ἀξίως.
Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον
Νοεῖν, ὅθεν σε σὺν πόθῳ δοξάζομεν.

Ἄιδειν ἔοικε τὴν φυσίζωον κόρην,
Μόνη γὰρ ἐν δίνησι κεκρύφει Λόγον,
Νοσοῦσαν ἀλθαίνοντα τὴν βροτῶν φύσιν,
Ὃς δεξιοῖς κλισμοῖσι νῦν ἱδρυμένος
Πατρὸς, πέπομφε τὴν χάριν τοῦ πνεύματος.

Ὅσοις ἔπνευσεν ἡ θεόῤῥυτος χάρις,
Λάμποντες, ἀστράπτοντες, ἠλλιωμένοι,
Ὀθνείαν ἀλλοίωσιν, εὐπρεπεστάτην,
Ἰσοσθενοῦσαν, τὴν ἄτμητον εἰδότες,
Σοφὴν, τρίφεγγον οὐσίαν δοξάζομεν.

Conf. Joannis Opp. l. c. p. 678 seqq.

LIII.

Εἰς τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

1. *Τῷ σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ λαὸν ποσὶν ἀβρόχοις ὁδηγήσαντι, καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.*

2. *Ἄισωμεν πάντες λαοὶ τῷ ἐπὶ ὤμων Χερουβὶμ ἀναληφθέντι μετὰ δόξης Χριστῷ, καὶ συγκαθίσαντι ἡμᾶς ἐν δεξιᾷ τοῦ πατρὸς, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.*

3. Τὸν μεσίτην Θεοῦ καὶ ἀνθρώπων Χριστὸν χοροὶ ἀγγέλων θεασάμενοι μετὰ σαρκὸς ἐν ὑψίστοις ἐξεπλήττοντο, συμφώνως δὲ ἀνέμελπον ὕμνον ἐπινίκιον, ὅτι δεδόξασται.

4. Δυνάμει τοῦ σταυροῦ σου, Χριστὲ, στερέωσόν μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου τὴν σωτήριον ἀνάληψιν.

5. Αἱ τάξεις τῶν ἀγγέλων, Χριστὲ, βροτείαν φύσιν θεασάμεναι συνανιοῦσάν σου ἀπαύστως ἐκπληττόμεναι ἐδόξαζον.

6. Εἰςακήκοα, κύριε, την ἀκοὴν τῆς δυναστείας τοῦ σταυροῦ, ὡς παράδεισος ἠνοίγει δι' αὐτοῦ, καὶ ἐβόησα· δόξα τῇ δυνάμει σου, κύριε.

7. Ἀνελήφθης ἐν δόξῃ ὁ τῶν ἀγγέλων βασιλεὺς, τὸν παράκλητον ἡμῖν ἐκ τοῦ πατρὸς ἀποστεῖλαι, ἵνα βοῶμεν· δόξα ἐν δυνάμει σου, κύριε.

8. Ὡς ἀνῆλθεν ὁ σωτὴρ πρὸς τὸν πατέρα συν σαρκὶ, κατεπλάγησαν αὐτὸν αἱ τῶν ἀγγέλων στρατιαὶ καὶ ἐβόησαν· δόξα τῇ δυνάμει σου, κύριε.

9. Αἱ τῶν ἄνω δυνάμεις ταῖς ἀνωτέραις ἐβόων· πύλας ἄρατε Χριστῷ τῷ ἡμετέρῳ βασιλεῖ, ὃν ἀνυμνοῦμεν ἅμα τῷ πατρὶ καὶ τῷ πνεύματι.

10. Ὀρθρίζοντες βοῶμέν σοι, κύριε· σῶσον ἡμᾶς, σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

11. Πληρώσας εὐφροσύνης τὰ σύμπαντα ἐλεήμων, ταῖς ἄνω δυνάμεσι μετὰ σαρκὸς ἐπεδήμησας.

12. Ἀγγέλων αἱ δυνάμεις αἰρόμενόν σε ἰδοῦσαι, τὰς πύλας, ἐκραύγαζον, τῷ βασιλεῖ ἡμῶν ἄρατε.

13. Ἐκύκλωσέ με ἄβυσσος, ταφή μοι τὸ κῆτος ἐγένετο, ἐγὼ δὲ ἐβόησα πρός σε τὸν φιλάνθρωπον καὶ ἔσωσέ με ἡ δεξιά σου, κύριε.

14. Ἐσκίρτησαν ἀπόστολοι, ὁρῶντες μετάρσιον σήμερον τὸν κτίστην φερόμενον, ἐλπίδι τοῦ πνεύματος καὶ φόβῳ ἔκραζον· δοξα τῇ ἀνόδῳ σου.

15. Ἐπέστησαν οἱ ἄγγελοι βοῶντες, Χριστὲ, τοῖς μαθηταῖς σου· ὃν τρόπον κατίδετε Χριστὸν ἀνυψούμενον, οὕτω σαρκὶ ἐλεύσεται δίκαιος ὁ πάντων κριτής.

16. Ὡς εἶδόν σε, σωτὴρ ἡμῶν, αἱ ἄνω δυνάμεις ἐν ὑψίστοις αἰρόμενον σύσσωμον, ἐν φόβῳ ἐκραύγαζον· μεγάλη, δέσποτα, ἡ φιλανθρωπία σου.

17. Ὁ ἐν καμίνῳ πυρὸς τοὺς ὑμνολόγους σώσας παῖδας, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

18. Ἐπὶ τῶν ὤμων, Χριστέ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθεὶς τῷ Θεῷ καὶ πατρὶ προςήγαγες.

19. Ὁ ἐν νεφέλῃ φωτὸς ἀναληφθεὶς καὶ σώσας κόσμον, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

20. Ὁ ἀνελθὼν ἀπὸ γῆς πρὸς τὸν ἀσώματον πατέρα, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

21. Τὸν ἐκ πατρὸς πρὸ αἰώνων γεννηθέντα υἱὸν καὶ Θεὸν, καὶ ἐπ' ἐσχάτων χρόνων σαρκωθέντα, ἐκ παρθένου μητρὸς ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

22. Τὸν ἐν δυσὶ ταῖς οὐσίαις ἀναπτάντα ζωοδότην Χριστὸν εἰς οὐρανοὺς μετὰ δόξης καὶ πατρὶ συγκαθεζόμενον, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

23. Τὸν ἐκ δουλείας τὴν κτίσιν τῶν εἰδώλων λυτρωσάμενον καὶ παραστήσαντα ταύτην ἐλευθέραν τῷ ἰδίῳ πατρὶ, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

24. Τὸν τῇ αὐτοῦ καταβάσει καθελόντα τὸν ἀντίπαλον καὶ τῇ αὐτοῦ ἀναβάσει ἀνυψώσαντα τὸν ἄνθρωπον, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

25. Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

26. Σὲ τὸν λυτρωτὴν τοῦ κόσμου Χριστὸν τὸν Θεὸν οἱ ἀπόστολοι βλέποντες ἐνθέως ὑψούμενον, μετὰ δέους σκιρτῶντες μεγαλύνομεν.

27. Σὲ τὸν καταβάντα ἕως ἐσχάτου τῆς γῆς καὶ τὸν ἄνθρωπον σώσαντα καὶ τῇ ἀναβάσει σου ἀνυψώσαντα τοῦτον μεγαλύνομεν.

28. Χαῖρε, θεοτόκε, μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ὃν γὰρ ἐκύησας σήμερον ἐκ γῆς ἀνιπτάμενον σὺν ἀγγέλοις ὁρῶσα ἐμεγάλυνας.

Conf. Joannis Opp. l. c. p. 686.

LIV.

Εὐχή.

Ἀπὸ ῥυπαρῶν χειλέων;
Ἀπὸ βδελυρᾶς καρδίας,
Ἀπὸ ἀκαθάρτου γλώττης,
Ἐκ ψυχῆς ῥερυπωμένης,
Δέξαι δέησιν, Χριστέ μου.
Καὶ μὴ παρωσάμενός μου,
Μὴ τοὺς λόγους, μὴ τοὺς τρόπους,
Μηδὲ τὴν ἀναισχυντίαν
Δός μοι παῤῥησίαν λέγειν,
Ἃ βεβούλημαι, Χριστέ μου.
Μᾶλλον δὲ καὶ δίδαξόν με,
Τί με δεῖ ποιεῖν καὶ λέγειν.
Ἥμαρτον ὑπὲρ τὴν πόρνην,
Ἡ μαθοῦσα ποῦ κατάγεις,
Μῦρον ἐξωνησαμένη,
Ἦλθε τολμηρῶς ἀλεῖψαι
Σοῦ τοὺς πόδας τοῦ Θεοῦ μου.
Τοῦ δεσπότου καὶ Χριστοῦ μου.
Ὡς ἐκείνην οὐκ ἀπώσω,
Προσελθοῦσαν ἐκ καρδίας,
Μηδ' ἐμὲ βδελύξῃ, λόγε.
Σοῦ δὲ παράσχε μοι πόδας,
Καὶ κρατῆσαι καὶ φιλῆσαι,
Καὶ τῷ ῥείθρῳ τῶν δακρύων,
Ὡς πολυτιμήτῳ μύρῳ,
Τούτους τολμηρῶς ἀλεῖψαι.
Πλῦνόν με τοῖς δάκρυσί μου,
Κάθαρον αὐτοῖς με, Λόγε.
Ἄφες καὶ τὰ πταίσματά μου.
Οἶδας τῶν κακῶν τὸ πλῆθος,
Οἶδας καὶ τὰ τραύματά μου,
Καὶ τοὺς μώλωπας ὁρᾷς μου.
Ἀλλὰ καὶ τὴν πίστιν οἶδας,
Καὶ τὴν προθυμίαν βλέπεις,
Καὶ τοὺς στεναγμοὺς ἀκούεις.
Οὐ λανθάνει σε, Θεέ μου,
Ποιητά μου, λυτρωτά μου,
Οὐδὲ σταλαγμὸς δακρύων,
Οὐδὲ στεναγμοῦ τι μέρος,
Οὐδὲ κίνημα καρδίας.
Τὸ μὴ ἀκατέργαστόν μου
Ἔγνωσαν οἱ ὀφθαλμοί σου
Ἐπὶ τὸ βιβλίον δέ σου
Καὶ τὰ μήπω πεπραγμένα
Γεγραμμένα σοι τυγχάνει.
Ἴδε τὴν ταπείνωσίν μου,
Ἴδε μου τὸν κόπον ὅσος
Καὶ τὰς ἁμαρτίας πάσας
Ἄφες μοι Θεὲ τῶν ὅλων·
Ἵνα καθαρᾷ καρδίᾳ,
Περιτρόμῳ διανοίᾳ,
Καὶ ψυχῇ συντετριμμένῃ
Τῶν ἀχράντων σου μετάσχω
Καὶ πανάγνων μυστηρίων,
Οἷς ζωοῦται καὶ θεοῦται,
Πᾶς ὁ πίνων τε καὶ τρώγων,
Ἐξ εἰλικρινοῦς καρδίας.
Σὺ γὰρ εἶπας, δέσποτά μου,
Πᾶς ὁ τρώγων μου τὴν σάρκα,
Πίνων δέ μου καὶ τὸ αἷμα,
Ἐν ἐμοὶ μὲν ὄντως μένει,
Ἐν αὐτῷ δ' ἐγὼ τυγχάνω.
Ἀληθὴς ὁ λόγος πάντως
Τοῦ δεσπότου καὶ Θεοῦ μου.
Καὶ τῶν θείων ὁ μετέχων
Καὶ θεοποιῶν χαρίτων,
Οὐμενοῦν οὐκ ἔστι μόνος,
Ἀλλὰ μετά σου, Χριστέ μου,

Τοῦ φωτὸς τοῦ τρισηλίου,
Ἵνα γοῦν μὴ μόνος μένω,
Δίχα σοῦ τοῦ ζωοδότου,
Τῆς πνοῆς μου, τῆς ζωῆς μου,
Τοῦ ἀγαλλιάματός μου,
Τῆς τοῦ κόσμου σωτηρίας,
Διὰ τοῦτο σοὶ προςῆλθον,
Ὡς ὁρᾷς μετὰ δακρύων
Καὶ ψυχῆς συντετριμμένης,
Λύτρον τῶν ἐμῶν πταισμάτων
Ἱκετεύων τοῦ λαβεῖν με,
Καὶ τῶν σῶν ζωοπαρόχων
Καὶ ἀμέμπτων μυστηρίων
Μετασχεῖν ἀκατακρίτως,
Ἵνα μένῃς, καθὼς εἶπας,
Μετ᾽ ἐμοῦ τοῦ παναθλίου,
Ἵνα μὴ χωρὶς εὑρών με
Τῆς σῆς χάριτος ὁ πλάνος,
Ἀφαρπάσῃ με δολίως,
Καὶ πλανήσας ἀπαγάγῃ
Τῶν θεοποιῶν σου λόγων.
Διὰ τοῦτό σοι προςπίπτω,
Καὶ θερμῶς ἀναβοῶ σοὶ,
Ὡς τὸν ἄσωτον ἐδέξω
Καὶ τὴν πόρνην προςελθοῦσαν,
Οὕτω δέξαι με τὸν πόρνον
Καὶ τὸν ἄσωτον, οἰκτίρμον,
Ἐν ψυχῇ συντετριμμένῃ
Νῦν με προςερχόμενόν σοι.
Οἶδα, σῶτερ, ὅτι ἄλλος
Ὡς ἐγὼ οὐκ ἔπταισέ σοι,
Οὐδὲ ἔπραξε τὰς πράξεις,
Ἃς ἐγὼ κατηργασάμην.
Ἀλλὰ τοῦτο πάλιν οἶδα,
Ὡς οὐ μέγεθος πταισμάτων,
Οὐχ ἁμαρτημάτων πλῆθος,
Οὐδὲ πράξεων αἰσχρότης,
Ὑπερβαίνει τοῦ Θεοῦ μου
Τὴν πολλὴν φιλανθρωπίαν.
Ἀλλ᾽ ἐλέῳ συμπαθείας
Τοὺς θερμῶς μετανοοῦντας
Καὶ καθαίρεις καὶ λαμπρύνεις
Καὶ φωτὸς ποιεῖς μετόχους,
Κοινωνοὺς θεότητός σου
Ἐργαζόμενος ἀφθόνως.
Καὶ τὸ ξένον καὶ ἀγγέλοις,
Καὶ ἀνθρώπων διανοίαις
Ὁμιλεῖς αὐτοῖς πολλάκις,
Ὥςπερ φίλοις σου γνησίοις.
Ταῦτα τολμηρὸν ποιεῖ με.
Ταῦτά με πτεροῖ, Χριστέ μου,
Καὶ θαῤῥῶν σου ταῖς πλουσίαις
Πρὸς ἡμᾶς εὐεργεσίαις,
Χαίρων ἅμα τε καὶ τρέμων
Τοῦ πυρὸς μεταλαμβάνω,
Χόρτος ὢν, καὶ ξένον θαῦμα,
Νῦν δροσούμενος ἀκαύστως,
Ὥςπερ καὶ ἡ βάτος πάλαι,
Ἡ ἀφλέκτως καιομένη.
Τοίνυν εὐχαρίστῳ γνώμῃ,
Εὐχαρίστῳ δὲ καρδίᾳ,
Εὐχαρίστοις μέλεσί μου,
Καὶ τῆς ψυχῆς καὶ σαρκός μου
Προςκυνῶ καὶ μεγαλύνω
Καὶ δοξάζω σε, Θεέ μου,
Ὡς εὐλογημένον ὄντα
Νῦν τε καὶ εἰς τοὺς αἰῶνας.

Legitur in Joannis Opp. Tom. I. p. 691 sqq. Conf. Poetae graeci veteres Colon. 1614. Tom. II. p. 743 seqq. — v. 41. Bill. emendat

μέν. — v. 128. Alii *εὐχάριστον γνώμην*. — Haec precatio a Graecis multoties edita est in officio sanctae communionis, ubi Symeoni Juniori Theologo tribuitur.

LV.

Ἰδιόμελα ἐν ἀκολουθίᾳ τοῦ ἐξοδιαστικοῦ.

Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος;
Ποία δόξα ἕστηκεν ἐπὶ γῆς ἀμετάθετος;
Πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα.
Μία ῥοπή, καὶ ταῦτα πάντα θάνατος διαδέχεται.
Ἀλλ' ἐν τῷ φωτὶ, Χριστὲ, τοῦ προσώπου σου,
Καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος,
Ὃν ἐξελέξω, ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχὴ χωριζομένη ἐκ τοῦ σώματος.
Οἴμοι, τότε πόσα δακρύει, καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν.
Πρὸς τοὺς ἀγγέλους τὰ ὄμματα ῥέπουσα, ἄπρακτα καθικετεύει,
Πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα, οὐκ ἔχει τὸν βοηθοῦντα.
Διὸ ἀγαπητοί μου ἀδελφοὶ, ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς,
Τῷ μεταστάντι τὴν ἀνάπαυσιν παρὰ Χριστοῦ αἰτησώμεθα,
Καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον,
Οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα.
Ἐπελθὼν γὰρ ὁ θάνατος ταῦτα πάντα ἐξηφάνισται.
Διὸ Χριστῷ τῷ ἀθανάτῳ βοήσωμεν·
Τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον,
Ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία.

Ποῦ ἐστὶν ἡ τοῦ κόσμου προσπάθεια;
Ποῦ ἐστὶν ἡ τῶν προσκαίρων φαντασία;
Ποῦ ἐστὶν ὁ χρυσὸς καὶ ὁ ἄργυρος;
Ποῦ ἐστὶν τῶν οἰκετῶν ἡ πλημμύρα καὶ ὁ θόρυβος;
Πάντα κόνις,

Πάντα τέφρα,
Πάντα σκιά.
Ἀλλὰ δεῦτε βοήσωμεν τῷ ἀθανάτῳ Βασιλεῖ·
Κύριε, τῶν αἰωνίων σου ἀγαθῶν ἀξίωσον τὸν μεταστάντα ἐξ ἡμῶν,
Ἀναπαύων αὐτὸν ἐν τῇ ἀγήρῳ μακαριότητι.

Legitur in Officio Exequiarum apud J. Goar: Euchologium sive Rituale Graecorum ed. 2. Venetiis 1730. p. 428 seq.

X.

Maximus.

LVI.

Ὕμνος εὐχαριστήριος καὶ ἱκετήριος πρὸς Θεόν.

Λειμὼν με τλήμον᾽ ἔσχε
Πάλαι φυτῶν ἀρίστων,
Ἦμος Θεοῦ μεγίστου
Ὑπ᾽ ἀφράστῳ προνοίῃ
Ἔρωτί τ᾽ ἰσομοίρῳ
Φῶς τοῦτ᾽ ἐγὼ κατεῖδον;
Πλασθεὶς χοὸς γεηροῦ
Καὶ πνεῦμα προςλαβών τε,
Γαίης μέσον πόλου τε
Ζῶον κατεστὼς οἴμοι,
Λάμπον Θεοῦ μεγάλου
Τῆς εἰκόνος μεθέξει.

Ὄφις δ᾽ ὁ παγκάκιστος
Φθόνῳ σφοδρῷ ὑφέρπων,
Ὀλεθρίῃσι βουλαῖς
Ἀπαισίοις τε φήμαις
Δεινῶς ψιθυρίσας μοι,
Ἐξηπάτησεν οἵ μοι
Καὶ τῆς ἐκεῖθεν ἔξω
Ὦσεν καλῆς τρυφῆς με,
Ἐξ ὀρχάτων τε πατρὸς,
Ὧν θῆκε, φεῦ, γεωργὸν,
Πάμπαν με ὀστρακίζων.
Οἰκτρὸν δ᾽ ἐὴν θέατρον
Νόων σεπτῇ χορείῃ.
Ἐπεὶ δὲ τραῦμα τοὐμὸν
Ἰατρὸν οὐχ ὑπέστη,
Πλάστης ὁ παντεχνήμων
Σπλάγχνοις ἰδών με θερμοῖς
Ξένως κατῆλθε πρός με,
Ἀνθρωπόμορφον ἁγνῶς
Λαβὼν ἀπειρολέκτρου
Γέννησιν ἐκ Μαρίης.
Οὕτω δέ γ᾽ ἐκσαώζει
Ἀφαρπάσας πονηρᾶς
Δρακοντίης χερός με,
Ἀφαρπάσας μόρου τε,
Εἵμαρτο ὅς ῥ᾽ ἔμοιγε
Προστάγματος Θεοῖο
Ἄβουλ᾽ ἀπεκπεσόντι,
Δι᾽ οὗ ἑὸν παρέσχε
Πικρῷ δέμας μόρῳ γε.

Συνέθλασε δὲ τούτου
Καρήνου ὑδάτεσσιν
Ῥείθρων Ἰορδανείων.
Ἁμαρτάδων ἐμῶν τε
Ἀσχημοσύνην ἔνθα
Ἐμβαπτίσας σκοτώδη·
Ἀναιδὲς ὃς δ' ἐσαῦθις
Οὐραῖον ἐνσαλεύων,
Ἐμὸν νόον ταράττει,
Κινήμασι κραδαίνων
Ἐς βόθρον ἐκφέρουσι,
Πειρῶν θ' ὑποσκελίζειν
Τρίβους ἐμῆς πορείης.
Οἰστρηλατεῖ δ' ἀνάγνως
Ἵππων βίην ἀτάκτων
Παλιμβόλως φέρουσαν.
Ὀργᾶν κινῶν ἐς αἴσχη
Ἀτάσθαλα φρένας μου
Πάθη τε θυμόλεθρα,
Πίπτειν ἐρείπιόν τε
Ἱππηλάτην βιάζων,
Ὃς ἡνίας διοικεῖ.
Πυρσὸν μέγαν δ' ἀνάπτει
Ἐκ πυρφόρων βελέμνων,
Ἅ μοι φλέγει κακάφρων,
Ἐντόσθιον σαλεύων
Πῦρ μοι, ὃ ἐμπέφυρται.
Σὺ δ' ἀλλ' ἐμοὶ πορίζοις
Σὴν χεῖρα λαοσῶστα,
Πρόῤῥιζον ἐκτέμνουσαν
Δόλους πικροῦ Βελίαρ·
Στήσας πάλαι σὺ ῥεῖθρον
Ἀναστραφὲν τάχιστα
Παλισσύτῳ πορείῃ,
Ἔργον ξένον τελέσσας.
Ἐξήρανας θαλάσσης
Πολύῤῥοον σὺ χεῦμα,
Πεζὸν διεκβιβάζων
Λαὸν σὸν Ἰσραῆλον,
Εἶπας δὲ, καὶ τὰ πάντα
Λόγῳ τεῷ παρήχθη·
Ἅρμα φλογὸς δ' ἐπέσχες
Ταχυδρόμου γίγαντος,
Φαεσφόρου μεγίστου.
Ἤμειψας ἑπταμέτρου
Παίδων τριῶν καμίνου
Φλόγ' ἐς δρόσον βαθεῖαν.
Ἄσωτον ἠλέησας·
Πόρνης ἔλυσας ἅμμα
Κακενδέτων ἐρώτων,
Θερμὸν δακρυῤῥοούσης.
Στήσας καὶ αἱμορούσης.
Σοῦ κρασπέδου προςάψει
Ἀειῤῥοον φορυκτόν.
Ἤγειρας ἐκ νεκρῶν τε
Καὶ παῖδα Ἰαείρου,
Πάλιν πνέοντα θῆκας.
Λεπροὺς δὲ ἐκκάθηρας,
Τυφλοῖς τ' ἔδωκας ὄψιν.
Καὶ πνεῦμα ἐξέωσας
Κούρης Σιδωνιαίας.
Κλίνην ἐπῆρεν ἄλλος,
Λύσιν μελῶν ἀθροίσας,
Καὶ συγκύφουσαν ὀρθοῖς,
Καὶ δαίμονας διώκεις.
Καὶ πενθερᾶς δὲ Πέτρου
Ἀφῇ χερὸς σὺ παύσας
Θερμανσίην φλογώδην.
Πλείω δ' ἔρυξας ἄλλα,
Ἀριθμὸν ὅσσα φεύγει.
Τί θαῦμα, εἰ κ' ἐμοῖο
Ψύξεις φλογὸς πυρεῖα,
Ἀεννάου κρατῆρος
Δρόσον τεὴν σταλάξας
Ἐμοῖς ἐπ' ἀνθράκεσσιν;
Ἤν μοι φέροις, σαωτήρ,
Πᾶσαν σύ γ' ἐς βιωτήν,
Ὅπως τεὴν ὑμνήσω
Ἄχραντα χρηστότητα
Πατρός τε καὶ πνοῆς σῆς.

Qua aetate Maximus vixerit, e subsidiis literariis, quae ad manus erant, non comperi. Conf. Fabricii Bibl. Gr. ed.

Harl. Tom. IX. p. 679. Sed si carminum indolem diligenter adspicis, forsan coniici potest, ea saec. VII. vel VIII. conscripta esse. Leguntur Maximi hymni anacreontici in Corpore Poetarum Graecorum Veterum, Coloniae 1614. Tom. II. p. 192 seqq.

LVII.

Ὕμνος ἱκετήριος εἰς Χριστόν, ἐν εἴδει ἐξομολογήσεως.

Ὤμοι ἐγὼ κακῶν μου,
Ἄναξ ἄναρχε σῶτερ,
Ἀβουλίας φρενῶν τε,
Καὶ δουλικῆς ἀνάγκης,
Κακοσχόλου τὲ μόχθου,
Μάταιος ὃν γ' ὑπέστην,
Ἐκ παιδόθεν καθείρξας
Δειναῖς πέδαις ἐμαυτὸν
Κακοτρόπου βιωτῆς,
Πλάνων τε ἠδ' ἐρώτων.
Ὤιμην ἄριστος εἶναι
Οἴκων καλῶν δομήτωρ,
Ὑψιρέφων τε πύργων.
Θεμέθλων, ὃν δ' ἔβαλλον,
Οὐ πέτρα ἦν σταθηρὰ,
Στηριγμὸν ἐντιθεῖσα,
Ἀλλ' ἄμμος, ἣν ῥᾷστα
Δονοῦσι μέν γ' ἀῆται,
Πηγαῖα δ' αὖ ῥέεθρα
Ῥοιζηδὸν ἑλκύουσι,
Βροχὴ ἰδ' ἐμπεσοῦσα
Ἔξυγρον ἐμφανίζει.
Πίπτουσι δ' ἔνθεν οἶκοι,
Ἐρείπια στέγη τε
Οἰκτρῶς δόμων ὁρᾶται.
Τίνες δ' ἄρ' ἦσαν οὗτοι,
Ἔκτιζον οὓς κακόφρων
Ψυχῆς ἐμῆς ὀλέθρῳ;
Λιθῶδες ἦν κραδίης
Κοῦλημ' ἁμαρτάδεσσιν
Ἀεὶ ἐφησυχάζον.
Λευκάζον ἤγ' ὀθνεῖον
Ἔξω φέρουσα χρῶμα,
Ὕπουλον ἀγνοοῦσι
Μορφάζετο φρόνημα
Ἐντόσθιον καλύπτον
Ἀσχήμονα πρόσοψιν,
Ὑπόκρισιν κεν εἴποις
Πάντι ἀποτρόπαιον.
Οἰκότριβας δὲ εἶχον,
Δόξης ὅσοις μέμηλε
Ψευδωνύμου, φύσσης τὲ,
Καὶ ἣ παλ' αἰτύγων τε
Πόλοιο ῥίψεν αἶψα
Ἑωςφόρον σκοτώδη
Κρίσει Θεοῦ δικαίᾳ.
Παῖδες δὲ ταῖς ἔησαν
Νήριθμοι ἠδὲ κοῦραι,
Πειθήνιον διδοῦσαι
Οὖας κακῶν ἐφετμαῖς.
Τῆμος βροχὴ δ' ἰοῦσα
Πνεύσαντες ἠδ' ἀῆται
Ῥέεθρά τ' ἐμπεσόντα
Ἔσεισαν ἐκ θεμέθλων,
Ἀπαίσιον τύρευμα,
Καὶ πτῶμα ἦν ξένον μοι,
Ψυχῇ δ' ἐμῇ ὄλισθος,
Ἄγειρεν ἣ τοσαύτην
Βλάβην ἔνοικον αὐτῇ
Θυμόν τ' ἄνωθεν αἰνὸν
Βροτησίαν τε ἔχθραν.
Πέτραν δὲ νῦν διέγνων
Θέμεθλον ἐμβαλέσθαι,
Σώζοιτο ὡς ἂν οἶκος,

Λίθους ἔχων ἐκείνους
Οἵ τίμιοι ἔασι,
Χρυσῷ ἰδ' ἀργύρῳ τὲ
Κεκασμένοι ἀχράντως,
Πλουτισμὸς εὐσεβοῦσιν,
Ὄλβος τὲ ὁ κράτιστος.
Τί γὰρ σαοφροσύνης
Κρεῖττον σεμνῆς κατέστη;
Ἧς ἐκτὸς οὐ θεᾶσθαι
Θεόν γ' ἔνι βροτοῖσι.
Ταπεινότητος αὖθις
Ὑψηπετοῦ τί ἔπλε
Τοῖς εἰδόσιν γ' ἄμεινον;
Ἀληθὲς ὕψος ἥτις
Κεκτημένοις πορίζει.
Συνειδότος δὲ ἁγνοῦ
Ὑπ' ὄψεσιν Θεοῖο
Ἐς καρδίην ὁρῶντος,
Τί βέλτιόν ποτ' ἔσται
Καὶ ἀγγέλοις ὁμοῖον
Βροτὸν παριστάνοντος;
Πτερώσεως δὲ θείης
Πάσχει νόος βρότειος
Ἄνωθεν ἣν ἁγνεύων,
Τηλαυγέσι πνοῇσιν,
Ὥστε κράτος θεωρεῖν
Μέγιστον, ἠδὲ ῥίζαν
Αὐτόσσυτον, κ' ἄημα,
Ζωηφόρον γε πνεῦσιν,
Μυστηρίων τε κλεινῶν
Βάθεσσιν ἐμβατεύειν,
Ὅσσον θ' ὑπὸ προνοίης
Κόσμῳ καλὸν κάτεισιν,
Ὅσσον τε ἐν χρόνοισιν
Ἔσται ἀεὶ ἐοῦσι.
Μακάρτερον τίς εἴποι;
Τοιαῦτ' ἐγὼ, σαωτὴρ,
Δομήματα κράτιστα,
Ἰσχὺν σέθεν διδόντος,
Πέτρας ἐπὶ σταθηρᾶς,
Τοῦ ἀκρογωνιαίου
Λίθου, ὃς αὐτὸς ἔπλες,
Ἐπείγομαι ἐγεῖραι.
Αὐτὸς δέ μοι χορηγοῖς
Τὴν σὴν χάριν συνεργὸν,
Τούτοις τέλος παρασχεῖν
Ὅπερ κράτιστον εἴη,
Σωτήριόν τ' ἔμοιγε.
Οὔτε βροχὴ βιαία
Πηγαῖα οὔτε ῥεῖθρα
Ῥαγδαῖοι οὔτ' ἀῆται
Σεῖσαι ἐμὸν τότ' οἶκον
Ἕξουσι οὐδὲ τυτθὸν,
Δομημένον θεμέθλῳ
Σοὶ, σῶτερ, ἀκραδάντῳ.
Σύ μοι διδοῖς δὲ χεῖρα,
Συνεργάστης δὲ γίγνου
Ἔμοι γε καὶ περαίνοις
Τὸ ξύμπαν, ὄφρ' ὑμνῶ σε,
Δοτῆρα τῶν ἀρίστων
Τούτων τε συντελεστὴν,
Βροτοὺς ἅπερ σαώζει.
Σοῦ γὰρ δίχα, κραταιὲ,
Οὔτ' ἔργον οὔτε βουλὴ,
Νόημα οὔτ' ἔρευγμα,
Οὐδέν τε τῶν ἁπάντων,
Κρειττονός γ' ὅσσα μοίρης,
Τέλους τεύξεται πάμπαν.
Σὺ σάρκα μοι παρέσχες
Φύσησας ἠδὲ πνεῦμα.
Σὺ καὶ πεσόντ' ἐγείρας,
Ἀνήγαγες πόλονδε,
Σὺν σαρκὶ σῇ ἀείρας.
Σὺ τεθνεῶτ' ἀνιστᾶς
Χαρίσμασι τεοῖσιν
Εὐσπλαγχνίῃ τ' ἀπείρῳ,
Ἧι προφθάνεις με, σῶτερ,
Καὶ σαρκὸς ἀξιοῖς σῆς
Κοινωνίας ἀφράστου.
Σὺ καὶ τέλος σαώσεις,
Ἂν μὴ ἄκαρπον εὕρῃς
Ὅλως ἐμὴν πορείην,
Ἂν μὴ φέρω μολίβδου
Ὄγκον βαρὺ βρίθοντα
Ὠθοῦντα τ' εἰς γεένναν
Ἄσβεστον ἠδὲ πῦρ με,
Ἂν μὴ ἄναγνον ὕλην,
Χόρτον πυρός τ' ἄναμμα.

Καὶ προῖκα ταῖς ἐκεῖσι
Ἐνθήσεαι μοναῖσιν,
Αἰωνίως βιοῦντα,
Δόξης τεῆς ὑμνῳδὸν,
Ἀκηράτοις νόοισι,
Πᾶσίν θ' ὁμοῦ δικαίοις.

Vid. l. c. p. 202.

LVIII.

Ὕμνος ἱκετήριος εἰς τὴν ἁγίαν τριάδα.

Μέμνησό μου, ἀνάρχου
Ἄῤῥητε βλαστὲ ῥίζης,
Ξένον τ' ἄημα ἀμφοῖν
Ἶσον γόνῳ καὶ ἀρχῇ,
Μορφὴ τρισήλιός μοι·
Ὅταν κρίνῃς μ' ἀλιτρὸν
Σῶσον πυρός με λάτριν
Τὸν σὸν, ζάλης τε πάσης,
Ἄλαλκε, σῶτερ, αἰνῆς·
Δεσμόν τε λῦσον αἶψα
Ἐσμοῦ λυγρῶν κακῶν μου.
Γράψον δὲ σῇ με βίβλῳ
Ῥόον φυγόντα τόνδε
Ἄτρωτον ἠδὲ σᾶον.
Ψάλλειν τε καὶ γεραίρειν
Ἐν ἀπλέτοις χρόνοισι
Νεῦσον τεὸν κράτος με.

Conf. l. c. p. 208.

L.

Theodorus Studita.

LIX.

Κανὼν, ψαλλόμενος εἰς τὴν ἀναστήλωσιν τῶν ἁγίων εἰκόνων.

Χαριστήριον ᾠδὴν τῷ εὐεργέτῃ Θεῷ τῶν ὅλων
Ἄισωμεν πιστοὶ, ὅτι ἤγειρε σωτήριον κέρας,
Βασιλείαν κραταιὰν, ὀρθοδοξίας πρόμαχον.

Ἐπεφάνη ἀληθῶς ἡ θεία χάρις τῇ οἰκουμένῃ,
Δόξα καὶ τιμὴ πεφανέρωται·
Σκιρτᾷ ἐκκλησία δεξαμένη τὴν στολὴν
Τῆς ἑαυτῆς γυμνώσεως.

Τὸν χιτῶνα τοῦ Χριστοῦ διεῤῥηγμένον
Ὑπὸ τοῦ πλάνου καὶ φαρμακουργοῦ Ἰωάννου τὸ πρὶν
Οἱ θεῖοι πατέρες ἐξυφανάντες σαφῶς,
Τῇ ἐκκλησίᾳ δεδώκασιν.

Τοῦ κυρίου τὴν μορφὴν ἀπολαβοῦσα ἡ ἐκκλησία
Χαίρει καὶ σκιρτᾷ σὺν τοῖς τέκνοις αὐτῆς,
Ὡς νίκης βραβεῖα δεξαμένη παρ' αὐτοῦ
Ὀρθοδοξίας σύμβολα.

Αἰσχυνθήτωσαν λοιπὸν καὶ ἐντραπήτωσαν μεμηνότες
Λήζιξ ὁ δεινὸς καὶ Ἀντώνιος σὺν τῷ Ἰωάννῃ
Καὶ Θεόδωρος ἀμφοῖν,
Οἱ ἀρνηταὶ τῆς πίστεως.

Ἰωαννὶς καὶ Ἰαμβρὶς ἀνθεστηκότες τῷ νομοθέτῃ,
Πάλαι Μωϋσῇ κατησχύνθησαν·
Νυνὶ δὲ ὁ πλάνος Ἰωάννης ἀληθῶς
Σὺν Ἀντωνίῳ δείκνυνται.

Σὺ διέῤῥηξας, Χριστέ, τὴν ξυνωρίδα τῶν θεομάχων
Καὶ τὸν στολισμὸν ἀποδέδωκας τῇ σῇ ἐκκλησίᾳ,
Ὑπὲρ ἧς, ὡς ἀγαθός,
Τὸ αἷμά σου ἐξέχεας.

Σέ, τριάς, θεολογῶ καὶ προσκυνῶ σου τὸ θεῖον κράτος,
Ῥῦσαι πειρασμῶν ἐκ παντοίων με,
Εἰς σὲ γὰρ πιστεύω τὸν πατέρα καὶ υἱὸν
Καὶ πνεῦμα τὸ πανάγιον.

Τὴν βασίλειον στολὴν ἐκ σοῦ, παρθένε, Θεὸς φορέσας,
Ὤφθη τοῖς βροτοῖς ἀνθρωπόμορφος,
Διπλοῦς κατ' οὐσίαν, οὗ τὸ εἶδος
Τῆς μορφῆς ἐν προσκυνήσει ἔχομεν.

Εὐφραίνεσθε ἅπαντες χοροὶ
Πατέρων καὶ ἀποστόλων,
Καθορῶντες τὴν προσκύνησιν τῶν εἰκόνων,
Ἥνπερ ἐμφανῶς παρεδώκατε.

Τὸ κάλλος μου ἔλαβον,
Καὶ τὴν στολήν μου ἐνεδυσάμην·
Ἐκβοάτω ἡ πανάμωμος ἐκκλησία,
Ἥνπερ Ἰωάννης ἐξέδυσεν.

Αἰσχύνθητε ἄνομοι
Αἱρεσχελοῦντες κατὰ κυρίου,

Ἐσαρκώθη καὶ ἐφάνη γὰρ ἐν εἰκόνι,
Ἥνπερ σχετικῶς ἀσπαζόμεθα.

Τὰ βέβηλα δόγματα
Καὶ τὰς ἀθέσμους διδασκαλίας
Ἰωάννου τοῦ παράφρονος τίς ἐξείποι
Τρόπους δελφικοὺς ἐκτιθέμενος;

Ἀνάθεμα Λήξικι,
Καὶ Ἰωάννῃ σὺν Ἀντωνίῳ,
Θεοδώρῳ τῷ ἀθέῳ τε καὶ βλασφήμῳ
Ἅμα Θεοδότῳ παράφρονι.

Τὰ αἵματα κράζουσι,
Τὰ ἐκχυθέντα ὑπὲρ τῆς θείας
Σαρκοφόρου ὁμοιώσεως τοῦ δεσπότου,
Ἅπερ Ἰωάννης ἐξέχεεν.

Ἐδίωξε κύριος
Τὴν ξυνωρίδα τῶν ἀλλοτρίων,
Καὶ ἀπέδωκε τὰ ἴδια τοῖς ἰδίοις,
Δόξα τῇ αὐτοῦ ἀγαθότητι. Δόξα.

Τὴν ἄναρχον θέλησιν
Καὶ ἐξουσίαν καὶ βασιλείαν
Τῆς τριάδος προςκυνήσωμεν
Ὀρθοδόξως, Ἄρειον ἀεὶ στηλιτεύοντες.

Κυρίως σὲ δέσποινα
Ὁμολογοῦμεν Θεὸν τεκοῦσαν,
Μὴ προςέχοντες τοῖς ῥήμασι Νεστορίου,
Ἀλλὰ τῶν πατέρων τοῖς δόγμασιν.

Ἀγάλλου ἡ ἐκκλησία, καὶ πᾶσα πόλις καὶ χώρα ἐν εὐφροσύνῃ
Ἀνοιγέσθω νῦν τὰ ἀσκητήρια,
Καὶ οἱ παρθενῶνες καλλοπίζεσθε τὰ λείψανα
Καὶ εἰκονίσματα τῶν μαρτύρων ἀξίως προςκυνείσθωσαν.

Χριστὸς ὑμᾶς προςκαλεῖται·
Συνέλθετε νῦν προθύμως, θεῖοι πατέρες,
Καὶ τὴν θείαν τῆς αὐτοῦ σαρκώσεως ἀποστολικῶς ἀνιστορήσατε,
Τὰ θαύματα καὶ τὰ παθήματα, καθὼς γράφει τὸ θεῖον εὐαγγέλιον.

Ἀθροίσθητε γεγηθότες
Τὰ πλήθη τῶν μοναζόντων ἐν παῤῥησίᾳ,

Ἐὰν γὰρ κακῶς ἰσχύσωσι, πάλιν ἡττηθήσονται οἱ δείλαιοι,
Καὶ ἣν ἂν βουλὴν βουλεύσωνται οἱ τοιοῦτοι, διασκεδάσει κύριος.

Αἱ μάστιγες τῶν πατέρων, τὰ αἵματα τῶν μωλώπων ἔλλειψαν ὄντως,
Ἐξορίαι συνεχεῖς ἐπαύσαντο,
Καὶ εἰρήνη πᾶσι πολιτεύεται, οὐκέτι ἰσχύσει τὸ δρᾶμα τῆς γοητείας,
Θεὸς γὰρ μεθ' ἡμῶν ἐστιν.

Ἡ ἄμπελος τῆς κακίας ἐξέτεινε τὰ κλήματα τῆς ἀσεβείας,
Καὶ τὸν βότρυν τὸν πικρὸν ἐξήνθησε,
Καὶ θυμὸς δρακόντιος ὁ οἶνος αὐτῶν,
Ἐξ οὗ τὸν λαὸν τοῦ κυρίου
Ἐπότισαν ὄντως, τὴν θολερὰν κακόνοιαν.

Ἐμίαναν τὸν ναόν σου ἀθέσμοις χειροτονίαις διὰ χρημάτων,
Καὶ κανονικῶς οὗτοι ἐκβέβληνται,
Καὶ τῆς θείας δόξης ἐκπεπτώκασιν
Ὁ Σίμων ὁ μάγος, σὺν τούτῳ καὶ Ἰωάννης καὶ ὁ δεινὸς Ἀντώνιος.

Τοὺς θῆρας καὶ θεομάχους, Ἀντώνιον τὸν βέβηλον
Καὶ παραβάτην Ἰωάννην τὸν σατανογνώμονα
Καὶ τῆς ἐκκλησίας πολεμήτορα,
Ὡς λύκους βαρεῖς συνελθόντες ἀναθεμάτους πιστοὶ ἀναβοήσωμεν.

Ἡ ἄκτιστος μοναρχία, πάτερ, υἱὲ καὶ πνεῦμα,
Σὲ προσκυνοῦμεν, ἣν τὰ Χερουβὶμ τὰ πολυόμματα
Καὶ τὰ Σεραφὶμ τὰ ἑξαπτέρυγα ὑμνοῦσι κραυγάζοντα·
Ἅγιος, ἅγιος, ἅγιος εἶ, ὦ παντοκράτωρ ὕψιστε.

Ἁγίων ἁγιωτέρα καὶ πάντων ὑψηλοτέρα τῶν ποιημάτων
Μόνη ἀνεδείχθης μητροπάρθενε,
Ὡς αὐτὸν κυήσασα τὸν πλάστην σου διὸ τὴν ἁγίαν μορφήν σου,
Θεογεννήτορα ἐν προσκυνήσει ἔχομεν.

Χριστὸς νενίκηκε, σκιρτάτω ἡ γῆ,
Πέπαυται θόρυβος, πέπαυται καὶ ὁ κλαυθμὸς
Τῶν τοῦ κυρίου δούλων·
Η πίστις δὲ πανταχοῦ τῷ κόσμῳ ἐφηπλώθη.

Ἐν εἰκόνι βλέποντες τὴν σταύρωσιν σέβοντες στέργομεν,
Ἀσπαζόμενοι Χριστὸν καὶ τὰ αὐτοῦ σημεῖα,
Καὶ προςκυνοῦμεν αὐτὰ, οὐχ ὡς θεοὺς τιμῶντες.

Πνεῦμα τὸ πολύῤῥημον καὶ βλάσφημον Λήξικος πέπανται,
Τὸ λαλοῦν διαπαντὸς, ἡμέραν καθ᾽ ἡμέραν
Κατὰ τῆς θείας μορφῆς Χριστοῦ καὶ τῶν ἁγίων.

Ἵνα τί, τρισάθλιε, μεμίσηκας μόρφωσιν ἄχραντον
Τῆς σαρκώσεως Χριστοῦ καὶ τῶν ἁγίων πάντων;
Μὴ γὰρ εἰδώλοις κωφοῖς οἱ πιστοὶ προςκυνοῦμεν;

Ἀσεβείας ὄργανα τυγχάνοντες ἤθροισαν σύνοδον
Ἱερέων ἀσεβῶν κατὰ Θεοῦ ὑψίστου,
Ὡς Ἰουδαῖοι τὸ πρὶν, Ἄννας καὶ Καϊάφας.

Ἐν ἡμέρᾳ κρίσεως, πανάθλιε, στήσονται ἔλεγχοι
Τῆς ἀθέου σου ψυχῆς, ὁ δῆμος τῶν πατέρων,
Ὥνπερ ἀμέτροις πληγαῖς ἐγύμνωσας τὰς σάρκας.

Ἐκκλησίαι ἅπασαι βοήσουσι, κράσουσαι ἅπασαι,
Στερηθεῖσαι ὑπὸ σοῦ, τῆς μορφῆς τοῦ κυρίου
Καὶ τῶν ἁγίων αὐτοῦ τὰς ἱερὰς εἰκόνας.

Ἡ τὸ πᾶν συνέχουσα τῷ κράτει σου, δόξα σοι,
Δόξα σοι, τρισυπόστατε μονὰς, πάτερ, υἱὲ καὶ πνεῦμα,
Τοὺς πεποιθότας εἰς σὲ ῥῦσαι παντοίας βλάβης.

Ὡς χρυσοκαλλώπιστον λυχνίαν σὲ, δέσποινα, σέβομεν,
Τὴν τὸ φῶς τὸ νοητὸν γεννήσασαν τῷ κόσμῳ,
Καὶ τὴν ζοφώδην ἀχλὺν μειώσασα, παρθένε.

Ἐβόησαν αἱ ἄγρυπνοι φύλακες
Τῆς ἐκκλησίας τοῦ Χριστοῦ, πρὸς αὐτὸν αἰτοῦντες;
Δοθῆναι τὴν εἰρήνην
Καὶ εἰςήκουσε καὶ προςέσχε τῇ δεήσει.

Διήλεγκται τοῦ πλάνου τὰ θύρατρα
Ταῖς τῶν πατέρων διδαχαῖς,
Καὶ Θεὸς ὑμνεῖται σαρκὶ μεμορφωμένος,
Ὁ ἀπεριγράπτως θεότητι ὑπάρχων.

Οἱ συνεργοὶ τῆς πλάνης αἰσχύνεσθε,
Καὶ ἀπολέσθωσαν ὁμοῦ σὺν τῷ Ἀντωνίῳ
Θεόδοτος καὶ Λήξιξ καὶ Θεόδωρος,
Ὁ βυθὸς τῆς ἀπωλείας.

Τὸ στόμα σου διήνοιξας, ἄθλιε,
Οὐκ ἐν ᾠδαῖς πνευματικαῖς, ἀλλ' ἐν βλασφημίαις
Κατὰ τοῦ σοῦ δεσπότου, ἀπωθούμενος
Τὴν σεπτὴν εἰκονουργίαν.

Διέστρεψας πατέρων τὰ δόγματα
Καὶ ἀποστόλων διδαχὰς,
Ἄλλην ἄλλως γράφων κατὰ τὴν σὴν θρησκείαν
Παράνομον, Ἰωάννη χριστομάχε.

Σοῦ ὁ καπνὸς δακρύων ἐνέπλησε
Τῶν εὐσεβούντων ὀφθαλμούς·
Ἀλλὰ τῷ ἀνέμῳ τῶν θείων διδασκάλων
Διεσκέδασται, ματαιόφρων Ἰωάννη.

Σὺ τὴν στολὴν τὴν θείαν διέῤῥηξας,
Ὥςπερ ὁ Ἄρειος τὸ πρὶν, τὸν τοῦ Χριστοῦ χιτῶνα·
Διὸ τῆς ἐκκλησίας πόῤῥω βέβλησαι,
Ἐκβληθεὶς καθάπερ κύων.

Μίαν ἀρχὴν δοξάζω θεότητος,
Ἐν ὑποστάσεσι τρισὶν,
Εἷς Θεὸς γάρ ἐστι, πατὴρ, υἱὸς καὶ πνεῦμα,
Κἂν διῄρηται χαρακτῆρσι καὶ προσώποις.

Προφητικῶς ἁγνὴ θεοδόξαστε,
Πόλις ἐδείχθης τοῦ Θεοῦ,
Ἐξ ἧς ἐγεννήθη αὐτὸς ὁ ποιητής σου,
Μετὰ τόκον σε ὡς τὸ πρὶν διαφυλάξας.

Τὴν κάμινον τῆς αἱρέσεως νῦν κατέσβεσεν ἡ θεία χάρις,
Φλέγουσα νοουμένους χαλδαίους καὶ δροσίζουσα τριάδος θεράποντας,
Τετραπλαῖς ἑβδομάσεσιν ἐτῶν αὐτὴν διακρατήσασαν.

Πεποίκιλται, περιβέβληται, κεκαλλώπισται ἡ ἐκκλησία,
Μόρφωσιν τοῦ δεσπότου τῶν ὅλων τῆς σαρκώσεως
Καὶ τῶν παθημάτων αὐτοῦ καὶ τὰ σύμβολα φέρουσα
Εἰς τέλος κατὰ τὸ τοὺς θείους θεσμούς.

Ἑόρταζε, πανηγύριζε ὁ χριστώνυμος λαὸς κυρίου,
Βλέπων τὴν ἐκκλησίαν καὶ πάλιν διαλάμπουσαν
Τὸ κάλλος τῆς θείας μορφῆς, ἣν Θεὸς ὢν ἐφόρεσεν,
Ὡς ἄνθρωπος διὰ τὸ σῶσαι ἡμᾶς.

Ἐπτώχευσε καὶ ἐπείνασε καὶ ἐδίψησε σαρκὶ ὁ λόγος,
Ταῦτα τῆς ἀνθρωπίνης οὐσίας ἰδιώματα, δι' ὧν περιγράφεται,
Οὗτος δὲ τῇ θεότητι ἁπλοῦς ἐστι καὶ ἀπερίγραπτος.

Κατήργηται τὰ τεράστια καὶ μαντεύματα τοῦ χριστομάχου,
Ἴσος γὰρ τῶν Ἑλλήνων ἐδείχθη ὑψαυχούμενος τοῖς τούτων συγγράμμασιν,
Ἃ δικαίως ἐλίκμησαν αἱ τῶν δικαίων φωναί.

Τὰ κρύφια καὶ παμβέβηλα καὶ ψυχόλεθρα διδάγματά σου,
Ποία ἐκδιηγήσεται γλῶσσα; ἢ τὴν πρόῤῥησιν τῆς ἐγγαστριμύθου σου,
Ἰωάννη ψευδώνυμε καὶ πρόδρομε τοῦ ἀντιχρίστου σατᾶν.

Οὐκ ἔδεισε, ὦ παράνομε, ὀνομάζεσθαι τοιαύτην κλῆσιν,
Μᾶλλον δὲ Πυθαγόραν καὶ Κρόνον καὶ Ἀπόλλωνα, ἤ τινα τῶν ἄλλων Θεῶν,
Ὧν τὸν βίον ἐζήλωσας, τερπόμενος ταῖς ἀσελγίαις αὐτῶν.

Ἀΐδιον παντοδύναμον ἀκατάληπτον τριάδα πιστοὶ
Πάντες πατέρα, υἱὸν καὶ πνεῦμα προςκυνήσωμεν,
Καὶ θεολογήσωμεν ἀσυγχύτως κραυγάζοντες· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός.

Πανύμνητε πολυδόξαστε, μητροπάρθενε θεοκυῆτορ,
Λύτρωσαι χαλεπῶν ἐγκλημάτων, τοὺς τιμῶντάς σου τὴν ἄχραντον κύησιν,
Οὐ γὰρ ἄλλην βοήθειαν κεκτήμεθα πλήν σου, θεόνυμφε.

Προφητικῶς ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν πιστοὶ
Πάντες μυστικῶς· αὕτη γὰρ ἡ ἡμέρα, ἐν ᾗ Χριστὸς ὁ λόγος
Τὴν ἰδίαν στολὴν ἀπέδωκε τῇ ἐκκλησίᾳ.

Πολεμικῶς ὥσπερ παρετάξαντο κατὰ Χριστοῦ τῆς μορφῆς
Ὁμοθυμαδὸν Λήζιξ καὶ Ἰωάννης, τὸ ζεῦγος τοῦ Βελίαρ,
Πελέκει κακίας ἐγκόψαντες τὴν ἐκκλησίαν.

Τίς μὴ θρηνήσει τὸ μέγα τόλμημα, τὴν θείαν βλέπων μορφήν,
Τὴν ἐν τῇ χαλκῇ πύλῃ τοῦ παλατίου,
Ὑπ' ἀνδρῶν ἀνόμων λίθοις βαλλομένην τῇ διδαχῇ τοῦ Ἰωάννου.

Πῶς οὐ συνῆκας, τυφλὲ πανάθλιε, ἐσκοτισμένε τὸν νοῦν,
Τὴν ὑπ' οὐρανὸν βλέπων κεκοσμημένην Χριστοῦ τῷ χαρακτῆρι,
Ἀλλὰ μόνος ἔσχες τὸ φρόνημα τῶν Ἰουδαίων.

Σὺ παντελῶς καθελεῖν ἐνόμισας τῶν θείων ἐκκλησιῶν
Τὴν σαρκολαμπῆ μόρφωσιν τοῦ κυρίου καὶ τῶν ἁγίων πάντων,
Ἀλλ᾽ ἡ θεία χάρις καθεῖλέ σου τὴν τυραννίδα.

Τὰ ἱερὰ τῶν ἁγίων λείψανα καὶ τὰς εἰκόνας αὐτῶν
Λῆξιξ ὁ δεινὸς ἅμα τῷ Ἰωάννῃ οὐδ᾽ ὅλως προςκυνεῖσθαι
Ἔφασκον ἀνόμως, οἱ ἀρνηταὶ τῆς εὐσεβείας.

Παντουργικὴν θεαρχίαν σέβοντες ἐν χαρακτῆρσι τρισὶ
Πάντες εὐσεβῶς, ἄναρχον τὸν πατέρα, συνάναρχον τὸν λόγον,
Πνεῦμα συνεκλάμπον δοξάσωμεν εἰς τοὺς αἰῶνας.

Χριστιανῶν ἡ βεβαία γέφυρα, τὸ καύχημα τῶν πιστῶν,
Καὶ καταφυγὴ, δέσποινα θεοτόκε, αὐτὴ ὑπάρχεις μόνη,
Πάντας βοηθοῦσα καὶ σώζουσα ἐκ τῶν κινδύνων.

Τὰ ἔθνη κροτήσατε, χοροὶ πατέρων σπεύσατε,
Οἱ ἀσκηταὶ δὲ καὶ οἱ ἐν τοῖς ὄρεσι συνέλθετε,
Ἥκετε οἱ διωχθέντες πάλαι, ἀπὸ τοῦ πλάνου καὶ δυσσεβοῦς Ἰωάννου,
Στηλιτεῦσαι τὰς μαγίας καὶ μαντεύματα,

Εὐφραίνου ἡ ἔρημος καὶ οἰκουμένη ἅπασα,
Τὰ ὄρη πάντα γλυκασμὸν σταλάξατε,
Βουνοὶ ἀγαλλιᾶσθε, ὅτι Χριστὸς, ὁ λόγος, εἰρήνην δέδωκε
Τοῖς ἐν γῇ καὶ ταῖς θείαις ἐκκλησίαις τὴν ἑνότητα τῆς πίστεως.

Θεὸς ἐκδικήσεων νῦν ἐπαῤῥησιάσατο,
Χριστὸς ἐπέστη, ἐνισχύων σήμερον τοὺς θείους διδασκάλους,
Ἐν παῤῥησίᾳ λέγειν τὴν συγκατάβασιν αὐτοῦ,
Καὶ τὴν σάρκωσιν βεβαίως ἐν εἰκόνι περιγράφεσθαι.

Μακρόθυμε κύριε, ὡς θαυμαστὰ τὰ ἔργα σου,
Τίς ἀριθμήσει τὴν φιλανθρωπίαν σου;
Πῶς βλέπων κτεινομένους διὰ τὴν σὴν εἰκόνα
Τοὺς ἱερεῖς σου καὶ ἀσκητὰς,
Οὐ κατέφλεξας τοὺς πλάνους, ἀλλ᾽ ἠνέσχου ὑβριζόμενος;

Ὁ πήξας ἀσάλευτον τὴν ἐκκλησίαν, κύριε,
Καὶ πύλαι ᾅδου ταύτης οὐ κατίσχυσαν,
Αὐτὸς τὴν εἰρήνην σου παράσχου τῷ λαῷ σου,

Ἵνα σε πάντες εἰλικρινῶς
Ἐν μιᾷ δοξολογίᾳ προςκυνῶμεν καὶ δοξάζωμεν.

Ἀνάθεμα ἔστωσαν οἱ μὴ τιμῶντες, δέσποτα,
Τὸν χαρακτῆρα τῆς σῆς σωματώσεως,
Πρὸ πάντων Ἰωάννης ἅμα σὺν Ἀντωνίῳ καὶ Θεωδώρῳ τῷ δυσσεβεῖ,
Θεοδότῳ καὶ τοῖς ἄλλοις, τοῖς ἀλάστορσι τῆς πίστεως.

Ὁ δοὺς τὴν εἰρήνην σου τοῖς ἀποστόλοις, δέσποτα,
Καὶ νῦν παράσχου τὴν γαλήνην ἅπασι,
Συνάγων τῇ χειρί σου τοὺς διεσκορπισμένους,
Καὶ ὥσπερ πρόβατα λογικὰ
Συναρίθμησον τῇ μάνδρᾳ τῆς ἁγίας ἐκκλησίας σου.

Δοξάζω θεότητα πατρὸς, υἱοῦ καὶ πνεύματος,
Τὴν μίαν φύσιν τρισὶν ὑποστάσεσι, οὐσίαν ἀμέριστον,
Διαιρετὴν προσώποις, ὁμοβασίλειον, παντουργὸν,
Πανσθενῆ τελεταρχίαν, τὴν συνέχουσαν τὰ σύμπαντα.

Ἡ πάντων βοήθεια καὶ σκέπη καὶ ἀντίληψις,
Δεῖξον, ὅτι δύνασαι πρεσβεύειν ὑπὲρ πάντων εἰς σὲ καταφευγόντων,
Καὶ ἀπελαύνεις τοὺς δυσσεβεῖς τῇ δυνάμει τοῦ υἱοῦ σου,
Ὡς γὰρ μήτηρ πάντα δύνασαι.

Legitur in Baronii Annal. Eccles. ad ann. 842. Tom. IX. p. 1059 seqq. Juvat adscribere, quae Baronius l. c. p. 1053 de auctore carminis adnotavit: Considerandum putamus, ipsius (Theodori Studitae) hymnum illum esse non posse, quem ante haec tempora ex hac vita migrasse vidimus, et hymnus ille non ante haec tempora, cum pax est ecclesiae restituta, potuit esse scriptus: quod et auctor ipse demonstrat manifestius, dum in eius septima oda viginti octo annos persecutionis huius numeret a tempore scilicet, quo regnare desinente Irena Augusta pacis ecclesiae conciliatrice, successit Leo Armenus Imperator Iconoclasta, ecclesiae persecutor, a cuius imperii exordio usque ad Theophili Imperatoris obitum, quo extincta est persecutio, tot anni, nempe viginti octo, interiacent. Quam ob rem dicendum est, hymnum illum Theodori esse non posse, quem existimamus alicuius ex discipulis eius monasterii Studitarum professoris esse opus, et fortasse Naucrati vel alterius ex confessoribus illis, qui sub persecutione diversorum Imperatorum, multa pro cultu sacrarum imaginum (ut vidimus) passi sunt.

II.

Theophanes.

LX.

Κανὼν ἐξοδιαστικός.

Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς οἱ γενναῖοι μάρτυρες δυσωποῦσί σε Χριστέ,
Ὃν ἐκ γῆς μετέστησας πιστὸν, αἰωνίων ἀγαθῶν τυχεῖν ἀξίωσον.
Κατακοσμήσας τὰ πάντα, ζῶον μικτὸν, μέσον με τὸν ἄνθρωπον
Ταπεινότητος ὁμοῦ καὶ μεγέθους ἔπλασας,
Διὸ τὴν τοῦ δούλου σου ψυχὴν, σῶτερ, ἀνάπαυσον.

Τοῦ παραδείσου πολίτην καὶ γεωργὸν κατ' ἀρχάς με ἔταξας,
Παραβάντα δὲ τὴν σὴν ἐντολὴν ἐξορίσας,
Διὸ τὴν τοῦ δούλου σου ψυχὴν, σῶτερ, ἀνάπαυσον.

Νομίμως ἤθλησαν οἱ σοὶ μάρτυρες, ζωοδότα,
Καὶ στεφάνῳ τῆς νίκης κοσμηθέντες,
Ἐκτενῶς τῷ μεταστάντι πιστῶς, αἰωνίαν λύτρωσιν βραβεύουσιν.

Παιδεύσας πρότερον πολλοῖς τέρασι καὶ σημείοις ἐμὲ τὸν πλανηθέντα,
Ἐπ' ἐσχάτων σεαυτὸν κενώσας, ὡς συμπαθὴς, καὶ ζητήσας εὗρες καὶ διέσωσας.

Ῥεόντων ὕστατον φθορὰν, τὸν πρὸς σὲ διαβάντα
Ἐν σκηναῖς αἰωνίοις κατοικεῖν χαρμονικῶς,
Ἀξίωσον ἀγαθὸς δικαιώσας πίστει τε καὶ χάριτι.

Σταυρῷ προσηλουμένους, τῶν μαρτύρων
Τοὺς χοροὺς πρὸς σεαυτὸν συνήγαγες μιμουμένους
Τὸ πάθος σου, ἀγαθὲ, διό σου δεόμεθα·
Τὸν πρὸς σὲ μεταστάντα νῦν ἀνάπαυσον.

Ἀφράστῳ τῇ δόξῃ σου ὅταν ἔλθῃς, φοβερῶς
Κρῖναι τὸν κόσμον ἅπαντα ἐν νεφέλαις,

Εὐδόκησον λυτρωτὰ φαιδρῶς ὑπαντῆσαί σοι,
Ὃν ἐκ γῆς προςέλαβες πιστὸν δοῦλόν σου.

Πηγὴ ζωῆς πέφυκας, ἐν ἀνδρείᾳ θεϊκῇ
Πεπεδημένους, δέσποτα,
Ὁ ἐξάγων τὸν δοῦλόν σου, τὸν πρὸς σὲ πιστῶς ἐκδημήσαντα,
Ἐν τρυφῇ παραδείσου κατασκήνωσον.

Σταθερῶς τοὺς ἀγῶνας ἐπιδειξάμενοι,
Τῷ τῆς νίκης στεφάνῳ κατεκοσμήθητε,
Μάρτυρες Χριστοῦ ἀθλόφοροι κραυγάζοντες·
Σὲ ὑπερυψοῦμεν, Χριστέ, εἰς τοὺς αἰῶνας,

Ἱερῶς τὸν βίον ἀπολιπόντα πιστὸν,
Καὶ πρὸς σὲ τὸν δεσπότην μεταχωρήσαντα,
Δέξαι προςηνῶς, ἀναπαύων ὡς εὔσπλαγχνος,
Σὲ ὑπερυψοῦντα εἰς πάντας τοὺς αἰῶνας.

Νῦν ἐν γῇ τῶν πραέων πάντων αὐλίζεσθαι
Τὸν προκεκοιμημένον, σῶτηρ, εὐδόκησον,
Πίστει τῇ εἰς σὲ δικαιώσας καὶ χάριτι,
Σὲ ὑπερυψοῦντα εἰς πάντας τοὺς αἰῶνας.

Invenitur in Goar Euchol. p. 426. — v. 24. Alii *προςελάβου*, ut ipse Goar. — v. 31. Goar. *Μάρτυρος*.

LXI.

Κανὼν ἐξωδιαστικός.

Σοῦ, σῶτερ, δεόμεθα τῆς σῆς γλυκείας
Μεθέξεως τὸν μεταστάντα ἀξίωσον,
Καὶ κατασκήνωσον ἐν σκηναῖς δικαίων,
Ἐν μοναῖς ἁγίων σου, ἐν τοῖς ἐπουρανίοις σκηνώμασιν,
Τῇ εὐσπλαγχνίᾳ σου παρορῶν αὐτοῦ τὰ πταίσματα,
Καὶ παρέχων αὐτῷ τὴν ἀνάπαυσιν.

Ῥώμην τοῦ θανάτου καὶ φθορὰν σοῦ τῷ ζωηφόρῳ
Θανάτῳ καθεῖλες, δέσποτα, πᾶσι δ' ἐπήγασας ζωὴν αἰώνιον,
Καὶ νεκρῶν ἐξανάστασιν θνητοῖς ἐδωρήσω.

Ὅθεν σοῦ δεόμεθα, σῶτερ, ἀνάπαυσον πίστει τὸν πρὸς σὲ μεταστάντα,
Καὶ τοῦ γλυκυτάτου σου κάλλους
Τοῦτον καταξίωσον, φιλάνθρωπε.

Δοξάζω τὸν σταυρόν σου τὸν τίμιον,
Δι' οὗ ζωὴ δεδώρηται καὶ τρυφῆς ἡ ἀπόλαυσις
Τοῖς ἐν πίστει καὶ πόθῳ σε ὑμνοῦσι, μόνε πολυέλεε.
Διὸ βοῶμέν σοι, Χριστὲ ὁ θεὸς, τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον,
Ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοὶ,
Δοξάζειν σου τὴν Θεότητα.

Ὄντως φοβερώτατον τὸ τοῦ θανάτου μυστήριον.
Πῶς ψυχὴ ἐκ τοῦ σώματος βιαίως χωρίζεται,
Ἐκ τῆς ἁρμονίας, καὶ τῆς συμφυΐας,
Ὁ φυσικώτατος θεσμὸς θείῳ βουλήματι ἀποτέμνεται,
Διό σε ἱκετεύομεν, τὸν μεταστάντα ἀνάπαυσον
Ἐν σκηναῖς τῶν δικαίων σου, ζωοδότα φιλάνθρωπε.

Ex officio funeris monachorum apud Goar Euchol. p. 439 sqq. ubi hoc carmen inscriptum est: *στιχηρὰ προσόμοια τοῦ ἁγίου Θεοφάνους.* — v. 8. Goar. *δὲ ἐπήγασας.*

N.

Josephus Hymnographus.

LXII.

Κανὼν εἰς φόβον σεισμοῦ.

Ὡς φοβερὰ ἡ ὀργή σου, ἐξ ἧς ἡμᾶς ἐλυτρώσω, κύριε,
Μὴ συγχωρήσας ἐν τῇ γῇ ἅπαν τὸ ἀνάστημα ἡμῶν.
Εὐχαρίστως σε διὸ ἀεὶ δοξάζομεν.

Χαίρων ἡμῶν καθ' ἑκάστην τῇ πολυτελεῖ διορθώσει, δέσποτα,
Ὥσπερ φύλλον εὐτελὲς, διασείεις ἅπασαν τὴν γῆν
Εἰς τὸν φόβον σου πιστοὺς στηρίζων, κύριε.

῾Ρῦσαι σεισμοῦ βαρυτάτου πάντας ἡμᾶς, καὶ μὴ δῴης, κύριε,
᾿Απολέσθαι παντελῶς τὴν κληρονομίαν σου πολλοῖς
Παροργίζουσαν κακοῖς, σὲ τὸν μακρόθυμον.

Σείσας προβλέψει σου πᾶσαν τὴν γῆν, παμβασιλεῦ,
᾿Ενέβαλες εἰς φόβον ἡμῶν τὰς διανοίας.
᾿Αλλ᾿ ἄνες, δέσποτα, οἰκτίρμων τὴν ὀργήν σου,
Καὶ μὴ δῷς εἰς παντελῆ ἀφανισμὸν τὸν σὸν λαόν.

Τίς δυσωπήσει σε, ὑπὲρ λαοῦ παντοδαπῶν
Αἰσχύνης ὀφλημάτων ἀεὶ καλυπτομένου,
Καὶ ἀπολέσθαι προςδοκῶντος τῇ ὀργῇ σου;
᾿Εξ ἧς ἡμᾶς, Χριστέ, τῷ σῷ ἐλέει ἐξελοῦ.

῎Εδειξας φόβον σου νυνί, Χριστέ, τῇ φοβερᾷ
Προβλέψει σου, σαλεύσας τῆς γῆς τοὺς θεμελίους,
᾿Αλλὰ συνήθως δεῖξον πάλιν ἐλεῆμον,
Τὸ ἔλεος τὸ σόν, μὴ ἀπολλύμεθα δεινῶς.

῾Η γῆ μαστίζεται ἡμῶν κακῶς διακειμένων,
Καὶ ἀεὶ τὴν ὀργήν σου συγκινούντων καθ᾿ ἡμῶν,
Οἰκτίρμον παμβασιλεῦ, ἀλλὰ φεῖσαι,
Δέσποτα, τῶν δούλων σου.

Συσσείσας, κύριε, τὴν γῆν, ἱστερίωσας πάλιν,
Νουθετῶν, ἐπιστρέφων τὴν ἀσθένειαν ἡμῶν,
Στηρίζεσθαι ἐν τῷ σῷ θείῳ φόβῳ θέλων, ὑπεράγαθε.

Σαλεύεις, κύριε, τὴν γῆν, βουλόμενος
῾Εδρασμῷ ἀληθείας πάντας ἡμᾶς, δέσποτα,
Στηρίζεσθαι σαλευομένους προςβολαῖς τοῦ δολίου πολεμήτορος.

Τῇ θείᾳ νεύσει σου κλονεῖς τὰ σύμπαντα,
Καὶ δονεῖς τὰς καρδίας τῶν ἐπὶ γῆς κατοικούντων, δέσποτα,
Τῆς οὖν δικαίας σου ὀργῆς ἄνες, κύριε, τὰ κύματα.

Οὐδ᾿ ὅλως ἔχοντες εἰς νοῦν τὸν φόβον σου,
᾿Εκφοβεῖς τῇ νικήσει πᾶσαν τὴν γῆν, μόνε εὐσυμπάθητε.
᾿Αλλὰ συνήθως ἐφ᾿ ἡμᾶς τὰ ἐλέη σου θαυμάστωσον.

᾿Ιδοὺ οἱ πάντες ἡμεῖς ἐπταίσαμεν,
Καὶ φοβερῶς ἡ γῆ μηδὲν σφαλεῖσα κολάζεται.
Νουθετῶν γὰρ ἡμᾶς ὁ φιλάνθρωπος, ὅλην αὐτὴν σαλεύει.
Εὐχαριστοῦμέν σοι, οἱ ἀναπολόγητοι ἡμεῖς, μόνε φιλάνθρωπε.

Σεισμοῦ, μαχαίρας, πικρᾶς ἁλώσεως,
Καὶ ἐθνικῆς, Χριστέ, ἐπιδρομῆς, καὶ συμπτώσεως, καὶ λιμοῦ,
Καὶ κακώσεως, δέσποτα, πάσης ἄλλης, οἰκτίρμων,
Ῥῦσαι τὴν πόλιν σου, ἅπασαν τε χώραν τὴν πιστῶς ὑμνολογοῦσάν σε.

Ἡ γῆ ἀγλώσσως βοᾷ στενάζουσα·
Τί με κακοῖς μιαίνετε πολλοῖς, πάντες ἄνθρωποι;
Καὶ ἡμῶν ὁ δεσπότης φειδόμενος, μόνην ἐμὲ μαστίζει;
Λάβετε αἴσθησιν καὶ ἐν μετανοίᾳ τὸν Θεὸν ἐξιλεώσασθε.

Legitur apud Goar Euchol. p. 620 seqq.

O.

Simeon Metaphrastes.

(Λογοθέτης.)

LXIII.

Εἰς τὴν μετάληψιν.

1.

Ἰδοὺ βαδίζω πρὸς θείαν κοινωνίαν,
Πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ,
Πῦρ γὰρ ὑπάρχεις, τοὺς ἀναξίους φλέγων,
Ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλίδος.
Θεουργὸν αἷμα φρίξον, ἄνθρωπε βλέπων,
Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων.
Θεοῦ τὸ σῶμα καὶ θεοῖ με καὶ τρέφει,
Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

2.

Μέλλων φαγεῖν, ἄνθρωπε, σῶμα δεσπότου,
Φόβῳ πρόσελθε, μὴ φλέγῃς, πῦρ τυγχάνει.
Θεῖον δὲ πίνων αἷμα πρὸς μετουσίαν,
Πρῶτον καταλλάγηθι τοῖς λυποῦσί σε·
Ἔπειτα θαῤῥῶν μυστικὴν βρῶσιν φάγε.

3.

Ὁ δοὺς τροφήν μοι σάρκα σὺν ἑκουσίως,
Ὁ πῦρ ὑπάρχων καὶ φλέγων ἀναξίους.
Μὴ δὴ καταφλέξῃς με μή, πλαστουργέ μου,
Μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις
Εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν.
Φλέξον δ' ἀκάνθας τῶν ὅλων μου πταισμάτων.
Ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας,
Τὰς ἠνίας στήριξον ὀστέοις ἅμα,
Αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα.
Ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ,
Ἀεὶ σκέπε, φρούρειτε καὶ φύλαττέ με,
Ἐκ παντὸς ἔργου καὶ λόγου ψυχοφθόρου,
Ἅγνιζε καὶ ῥύθμιζέ με,
Ἄλλυνε, συνέτιζε καὶ φώτιζέ με,
Δεῖξόν με σὸν σκήνωμα πνεύματος μόνου
Καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας.
Ἵν' ὡς σὸν οἶκον εἰςόδῳ κοινωνίας
Ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.

Leguntur hi versus apud Chr. Pelargum: Enchiridion Graeco-Latinum Hymnorum etc. Frcf. 1540. Conf. Poetae Veteres Graeci Tom. II. p. 753. „Diese von heiligem Schauer erfüllten Verse waren ehemals bei der Feier des Abendmahls in der griechischen Kirche gebräuchlich, und sind es vielleicht noch." Fortlage l. c. p. 363.

P.

Nilus Xanthopulus.

LXIV.

Στιχηρὰ ἰδιόμελα.

Χαίροις Ἱεραρχῶν ἡ τριάς,
Τῆς ἐκκλησίας τὰ μεγάλα προπύργια,
Οἱ στύλοι τῆς εὐσεβείας,
Ὁ τῶν πιστῶν ἑδρασμός,
Τῶν αἱρετιζόντων ἡ κατάπτωσις,

Χριστοῦ οἱ ποιμάναντες τὸν λαὸν τοῖς θείοις δόγμασι,
Καὶ ταῖς ποικίλαις ἀρεταῖς οἱ ἐκθρέψαντες,
Οἱ τῆς χάριτος διαπρύσιοι κήρυκες,
Νόμους οἱ προεκθέμενοι Χριστοῦ τῷ πληρώματι,
Οἱ ὁδηγοὶ πρὸς τὰ ἄνω, τοῦ παραδείσου αἱ εἴσοδοι,
Χριστὸν καταπέμψαι ταῖς ψυχαῖς ἡμῶν αἰτεῖτε τὸ μέγα ἔλεος.

Χαίροις Ἱεραρχῶν ἡ τριάς,
Οὐρανοβάμονες, ἐπίγειοι ἄγγελοι,
Τοῦ κόσμου ἡ σωτηρία,
Ἡ τῶν ἀνθρώπων χαρά,
Καὶ τῆς οἰκουμένης οἱ διδάσκαλοι,
Τοῦ λόγου οἱ πρόμαχοι,
Ἰατροὶ ἐπιστήμονες τῶν νοσημάτων τῆς ψυχῆς καὶ τοῦ σώματος,
Οἱ ἀείῤῥοοι ποταμοὶ οἱ τοῦ πνεύματος,
Λόγοις οἱ καταρδεύσαντες τῆς γῆς ἅπαν πρόσωπον,
Οἱ θεολόγοι, αἱ βάσεις, οἱ χρυσολόγοι, οἱ ἔνθεοι.
Χριστὸν καταπέμψαι ταῖς ψυχαῖς ἡμῶν αἰτεῖτε τὸ μέγα ἔλεος.

Χαίροις Ἱεραρχῶν ἡ τριάς,
Τοῦ ἐπιγείου στερεώματος ἥλιος,
Ἀκτῖνες καὶ δαδουχίαι ἐκ τρισηλίου αὐγῆς,
Τῶν ἐσκοτισμένων ἡ ἀνάβλεψις,
Τὰ ἄνθη τὰ εὔοσμα, τοῦ παραδείσου τὰ κάλλιστα,
Ὁ θεόλογος Γρηγόριος, ὁ σοφόστε Βασίλειος, ὁ Χρυσόστομος,
Τὰ πυξία τοῦ πνεύματος, πλάκες οἱ θεοχάρακτοι,
Μαζοὶ οἱ ἐκβλύζοντες τῆς σωτηρίας τὸ γάλα,
Τὸ τῆς σοφίας τὸ ἀγλάϊσμα,
Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι το μέγα ἔλεος.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων,
Χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν
Ἀγαλλόμενοι ἐν τῇ πανδήμῳ πανηγύρει τῶν διδασκάλων ἡμῶν·
Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν,
Καὶ τοὺς Ἱεράρχας κροτήτωσαν ἐν ὕμνοις,
Ὡς δογμάτων βλύσαντας ποταμοὺς ὑπερμεγέθεις,
Τρεῖς καλλιῤῥόους ἀειζώους τοῦ πνεύματος,
Ποιμένες καὶ διδάσκαλοι, τοὺς τῆς σεπτῆς τριάδος τρισσοὺς ἱερομύστας·

Συνελθόντες εὐφημήσωμεν, οἱ φιλόσοφοι τοὺς σοφούς,
Οἱ ἱερεῖς τοὺς ποιμένας, οἱ ἁμαρτωλοὶ τοὺς προστάτας,
Οἱ πένητες τοὺς πλουτιστάς, οἱ ἐν θλίψεσι τοὺς παραμυθοῦντας,
Τοὺς συνοδίτας οἱ ὁδοιπόροι, οἱ ἐν θαλάσσῃ τοὺς κυβερνήτας,
Οἱ πάντες τοὺς πανταχοῦ θερμῶς προφθάνοντας,
Θείους Ἀρχιεράρχας ἐγκωμιάζοντες οὕτως εἴπωμεν·
Πανάγιοι διδάσκαλοι, σπεύσατε ἐξελεῖν τοὺς πιστοὺς
Ἐκ τῶν τοῦ βίου σκανδάλων,
Καὶ ῥῦσαι κολάσεων τῶν αἰωνίων ἡμᾶς.

Leguntur in Officio ad Majores Vesperas; conferas Acta Sanctorum Jun. Tom. II. p. XXXV. — v. 1. Ἱεραρχῶν ἡ τριάς, referas ad Basilium Magnum, Gregorium Nazianzenum et Joannem Chrysostomum.

Q.

Joannes Euchaita sive Mauropus.

LXV.

Κανὼν τῆς Θεοτόκου.

Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ,
Τῷ διελόντι θάλασσαν καὶ ὁδηγήσαντι τὸν λαόν,
Ὃν ἀνῆκε δουλείας Αἰγυπτίων,
Ὅτι δεδόξωσται.

Τὸν εὐσεβῶς σε Θεοτόκον κυρίως ἁγνὴν ὁμολογοῦντα,
Ἄχραντε, ψυχῆς καὶ σώματος χαλεπῶν ἐκ κινδύνων
Καὶ νόσων καὶ πταισμάτων
Σύ με διάσωσον.

Ὅλην ἐν σοὶ τῶν χαρισμάτων ἄβυσσον ἀποκειμένην
Ἔγνομεν. Διὸ προσφεύγοντες, Θεοτόκε,
Προθύμως τῇ σκέπῃ σου τῇ θείᾳ
Διασωζόμεθα.

Ὑπὲρ ἡμῶν τῶν σε ὑμνούντων δυσώπησον
Τὸν σαρκωθέντα, πάναγνε, ἐκ τῶν ἀχράντων σου

Καὶ τιμίων αἱμάτων, ῥυσθῆναι ἐκ πταισμάτων
Καὶ νοσημάτων πικρῶν.

Στερέωσον ἡμᾶς ἐν σοί, κύριε,
Ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν,
Καὶ τὸν φόβον σου ἐμφύτευσον
Εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Πρεσβείαις σου, ἁγνή, Θεὸν, ὃν ἔτεκες,
Παράσχου εὐΐλατον τοῖς ἱκέταις,
Τοῖς προςτρέχουσι τῇ σκέπῃ σου,
Καὶ πιστῶς προςκυνοῦσί σου τὴν κύησιν.

Ὅλην μου τὴν ζωὴν διακυβέρνησον,
Παρθένε, ἐλπίς μου καὶ προστασία,
Πειρασμῶν καὶ περιστάσεων λυτρουμένη
Δεινῶν με, ἀειπάρθενε.

Σοφίαν τοῦ Θεοῦ τὴν ἐνυπόστατον ἀγκάλαις
Ὡς φέρουσα, Θεοτόκε, ἐξ ἀγνοίας καὶ πλανήσεως
Λυτρωθῆναι τοὺς υμνοῦντάς σε ἱκέτευε.

Εἰςακήκοα, κύριε, τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας,
Καὶ ἐδόξασά σε, μόνε φιλάνθρωπε.

Τῶν τραυμάτων μου, δέσποινα, τῶν τῆς ψυχῆς, σαρκὸς
Νοσημάτων, ἡ Θεὸν τεκοῦσα, λύσιν παράσχου μοι.

Ἐκ περιστάσεως ῥῦσαί με, μήτηρ Θεοῦ,
Καὶ ζάλης καὶ κινδύνων ταῖς σαῖς ἱκεσίαις, μόνη πανύμνητε.

Χειμαζόμενον κλύδωνι βιωτικῶν ἐξάρπασον,
Παρθένε, πρὸς τὸν σὸν λιμένα καθοδηγοῦσά με.

Ὁ τοῦ φωτὸς χορηγὸς καὶ τῶν σῶν αἰώνων ποιητής,
Κύριε, ἐν τῷ φωτὶ τῶν σῶν προςταγμάτων, ὁδήγησον ἡμᾶς·
Ἐκτός σου γὰρ ἄλλον Θεὸν οὐ γινώσκομεν.

Ὅπλον ἀήττητον κατὰ ποικίλων πειρασμῶν ἔχοντες
Τῶν δυσμενῶν πάσης ἐπηρείας λυτρούμεθα ἀεί,
Οἵ σε Θεοτόκον, ἁγνή, ἐπιστάμενοι.

Νόμου τὸ πλήρωμα ἡ ἀνωτέρα Χερουβὶμ τέτοκας
Τὸν τοῦ Θεοῦ ἐκ σοῦ σαρκωθέντα υἱὸν μονογενῆ,
Ὃν ὑπὲρ τῶν δούλων τῶν σῶν ἐξιλέωσαι.

Τὸν τοῦ παντὸς ποιητὴν ἐν ταῖς ἀγκάλαις σου,
Ἁγνὴ, φέρουσα, τοῦτον ἡμῖν ταῖς σαῖς ἱκεσίαις εὐΐλατον δίδου,
Τοῖς νῦν ἐκ καρδίας πρὸς σὲ καταφεύγουσι.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος τὴν ἀνεξιχνίαστον
Τῆς εὐσπλαγχνίας σου ἐπικαλοῦμαι ἄβυσσον·
Ἐκ φθορᾶς, ὁ Θεός, με ἀνάγαγε.

Σωτηρίας λιμένα γινώσκων σε, πλέων πολυφρόντιδος
Βιοῦ τὸ πέλαγος ἐπικαλοῦμαι, δέσποινα,
Κυβερνήτην ψυχῆς μου γενέσθαι σε.

Ἱερᾶς πολιτείας ἐκπέπτωκα ῥαθυμῶν ὁ δείλαιος·
Ἀλλ' ἐπανάγαγε, εὐλογημένη πάναγνε,
Προσταγαῖς τοῦ υἱοῦ σου ῥυθμίζουσα.

Legitur in Officio ad Matutinum. Conf. Acta SS. Jun. II. p. XLIV seqq.

LXVI.

Κανὼν τῶν ἁγίων.

οὗ ἡ ἀκροστιχίς·
Τρισήλιον φῶς, τρεῖς ἄνηψεν ἡλίους.

Τίς ἀμοιβὴ, τίς ἀνταπόδωσις πρέπουσα τοῖς ἡμετέροις,
Ἄνθρωποι, προσενεχθήσεται παρ' ἡμῶν εὐεργέταις,
Δι' ὧν πρὸς τὸ εὖ εἶναι χειραγωγούμενοι;

Ῥητορικαὶ γλῶσσαι καὶ τέχναι καὶ μέθοδοι
Καὶ πᾶσα λόγων δύναμις, νῦν εἰς ὑπόθεσιν σύμπνευσθωσαν μίαν,
Καὶ τοὺς τετιμηκότας ἀντιτιμάσθωσαν.

Ἴδιον μὲν οὐδὲν ἠνέσχοντο κτήσασθαι ἐν γῇ οἱ οὐρανόφρονες,
Φύλακες δ' ὤφθησαν τοῦ κοινοῦ καὶ προστάται·
Κοινῶν οὖν καὶ τῶν ὕμνων κατωξιούσθωσαν.

Θεοτόκιον.

[Σὲ τὴν κοινὴν φιλοτιμίαν, πανάμωμε,
Τῆς ἡμετέρας φύσεως πάντες δοξάζομεν.
Χεῖλος ἓν γεγονότες, καὶ συμφωνίαν μίαν ἀποτελέσαντες.]

Ἡ σάλπιγξ ἡ μεγάλη τῆς ἐκκλησίας,
Ὁ λύχνος ὁ φωτίζων τὴν οἰκουμένην,
Ὁ κῆρυξ ὁ τῷ φθόγγῳ περιλαμβάνων πάντα τὰ πέρατα,
Ὁ μεγαλώνυμος συγκροτεῖ τὴν σύναξιν ταύτην Βασίλειος.

Λαμπρὸς ἀπὸ τοῦ βίου καὶ τῶν πραγμάτων,
Λαμπρὸς ἀπὸ τοῦ λόγου καὶ τῶν δογμάτων,
Ἐν πᾶσιν ὑπερλάμπων πάντας ὡς ἄλλους ἀστέρας ἥλιος,
Ὁ πολυΰμνητος Θεόλογος σήμερον μακαρίζεται.

Ἰδοὺ τὸ φῶς τοῦ κόσμου τῷ κόσμῳ φαίνει,
Ἰδοὺ τῆς γῆς τὸ ἅλας τὴν γῆν ἡδύνει· ἰδοὺ τὸ ζωῆς ξύλον,
Ἀθανασίας καρποὺς προβάλλεται ὁ χρυσοῦς Ἅγιος·
Οἱ θανεῖν μὴ θέλοντες, δεῦτε τρυφήσατε.

Θεοτόκιον.

[Ὁ πάντα ἐκ μὴ ὄντων ὄντα ποιήσας, καὶ φύσιν δοὺς
Ἑκάστῳ τῶν γενομένων, αὐτὸς καὶ τὰς δοθείσας
Φύσεις ἀμοίβειν οἶδεν, ὡς βούλεται·
Ὅθεν ἀκούεται καὶ παρθένος τίκτουσα. Τίς οὐ θαυμάζεται;]

Νοήμονες ἐκ τῆς κάτω σοφίας γενόμενοι,
Κυβέρνησιν ἔνδοξοι παρὰ τῆς θείας ἐκτήσασθε,
Ὅθεν ὡς θεράπαιναν ταύτην ἐκείνῃ πανσόφως ὑπετάξατε.

Φιλόσοφοι, τοὺς σοφοὺς εἰ φιλεῖτε, σοφίσθητε,
Καὶ λέγειν διδάχθητε πάντες οἱ λόγους θαυμάζοντες,
Πράξεως ἀκρίβειαν καὶ θεωρίας ἐντεῦθεν ἐξασκούμενοι.

Θεοτόκιον.

[Ὡς ὄψιμος ὑετὸς ἐπ' ἐσχάτων ὁ πρώϊμος,
Ὑδάτων αἰώνων τε δημιουργὸς εἰς τὴν μήτραν σου ἔσταξε, πανάμωμε,
Κατὰ καιρὸν ἀναψύχων τοὺς ἐκλείποντας.]

Σὺ τὴν πηγὴν τῶν σεαυτοῦ χαρισμάτων ἐκπιεῖν,
Ὅλως φιλάνθρωπε, δέδωκας τοῖς Ἁγίοις,
Ἐλαττωθεῖσαν οὐδαμῶς τῇ κενώσει, τὸν δὲ κόσμον πάντα μεθύσασαν,
Τοῖς ἐκ τῆς κοιλίας αὐτῶν θείοις ῥεύμασιν.

Τί μοι χρυσός; τί μοι πλοῦτος καὶ δόξα καὶ δυναστεία;
Καπνοὶ διεῤῥέοντες εἰς ἀέρα. Πάντα οἰχέσθω,

Αὔρα πάντα φερέτω. Ἐμοὶ πλοῦτος εἷς πολυέραστος
Ἡ τῶν διδασκάλων τριὰς ῥητορεύουσα.

Ῥεῖ ποταμὸς ἀμβροσίαν καὶ νεκταῤῥεῖ τοῖς πεινῶσιν
Ἀθάνατος βρῶσις, καὶ τοῖς διψῶσιν ἄφθαστος πόσις,
Ὕδωρ ζῶν εἰς αἰῶνας καὶ συνέχον ζῶντας τοὺς πίνοντας·
Πάντες πλημμυρούσης ζωῆς ἐμφορήθητε.

Θεοτόκιον.

[Ἔσχεν ἰσχὺν καθ' ἡμῶν ἡ κακία, ἀλλ' οὐκ εἰς τέλος·
Ἠσθένητε γὰρ μετὰ τὴν παρθένον τὸν ἐν ἰσχύι δυνατὸν
Τετοχυῖαν ὑπελθόντα σαρκὸς ἀσθένειαν,
Καὶ τὸν δυνατὸν ἐν κακίᾳ νεκρώσαντα.]

Ἴδια ἐν τῇ τριάδι τριττὰ συνθεολογεῖτε τὴν ἀγεννησίαν τοῦ πατρὸς,
Τοῦ λόγου τὴν γέννησιν καὶ πνεύματος τὴν ἐκπόρευσιν μόνου.

Σήμερον τῷ οἴκῳ τούτῳ περιφανὴς σωτηρία· δύο γὰρ καὶ τρεῖς
Συνηγμένους Χριστὸς εἰς τὸ ὄνομα αὐτοῦ τιμῶν, μέσος πάρεστι τούτων.

Ἄπειρον τῆς γῆς τὸ βάθος πρὸς τὸ οὐράνιον ὕψος,
Ἀλλ' ἀπὸ τῆς γῆς τοὺς ἁγίους ἐξῆρεν ἐπέκεινα τῶν οὐρανῶν ὁ οὐράνιος ἔρως.

Θεοτόκιον.

[Νέαν σε πηγὴν, παρθένε, καὶ ἀφορμὴν μυστηρίων ἔχοντες οἱ τρεῖς Θεηγόροι,
Καιναῖς ὑποθέσεσι καινοπρεπῆ προςαρμόζουσι φράσιν.]

Ἡττᾶται, μακάριοι, καὶ δραπετεύει ἡ πρὶν ἀνυπόστατος θρασύτης
Τῶν αἱρέσεων, κηρὸς δὲ τηκόμενος ἀπὸ προςώπου πυρὸς,
Νόθον ἅπαν δόγμα τοῖς ὑμῶν προςβάλλων φθόγγοις πυρπνόοις δείκνυται.

Ψευδεῖς μὲν ἐξέκλιναν ἑλλήνων ὕθλους,
Πειθῷ δὲ τὴν τύραννον ἀνθρώποις μόνην εἵλοντο,
Ὑφ' ἧς τὴν ἀλήθειαν οἱ τρεῖς τονώσαντες,
Οὕτως ἅπαν σύστημα πιστῶν, χειροῦνται λόγοις καὶ καταπείθουσι.

Θεοτόκιον.

[Ἔν σοι πᾶσα πρόῤῥησις ἐπανεπαύθη, καὶ πέρας ἐδέξατο,
Ξενίζουσα τοὺς λέγοντας· ἐκ σοῦ δὲ λαμπρότερα καὶ τῶν προῤῥήσεων,
Θαύματα πηγάζουσαι, ἁγνὴ, δηλοῦντα τοὺς ἑρμηνεύοντας.]

Νοοῦμεν εὐσεβῶς καὶ δοξάζομεν ὁμότιμον μίαν φύσιν,
Ἀπειροδύναμον μονάδα τε καὶ τριάδα, τὴν πάντα ταῦτα λόγοις
Κυβερνῶσαν κρείττοσιν· οὕτω γὰρ δοξάζειν οἱ τρεῖς Θεοφόροι παρεγγυῶσιν,
Οἷς συμπροςκυνοῦμεν αὐτὴν εἰς τοὺς αἰῶνας.

Ἡνώθησαν οἱ τρεῖς θεοκήρυκες ἑνώσαντες τὴν τριάδα,
Καὶ τὸ ἀμέριστον ἐν πᾶσι τετηρηκότες τῇ θείᾳ φύσει,
Μίαν παρ᾽ αὐτῆς ἀντέλαβον ἀμέριστον δόξαν,
Εἰς ἔπαινον ἕνα συγκαλουμένην τοὺς ὑπερυψοῦντας αὐτὴν εἰς τοὺς αἰῶνας.

Θεοτόκιον.

[Λαβὼν τὸ καθ᾽ ἡμᾶς ἀντιδούς τε τὸ οἰκεῖον ὁ εὐεργέτης,
Ἔδρασε μόνον, οὐκ ἔπαθε δὲ, παρθένε· ποιεῖ γὰρ, ἀλλ᾽ οὐκ εἰς φθορὰν καθίσταται,
Μᾶλλον δὲ καὶ πάσχων ἑκὼν διὰ πάθους τὰ πάθη λύει,
Ὡς οἱ τρεῖς πατέρες ἡμᾶς μυσταγωγοῦσιν.]

Ἰδοὺ τὸ ὑμέτερον γεώργιον καὶ ποίμνιον,
Ὑπὲρ οὗ τοὺς μεγίστους πόνους ὑπέστητε·
Εἰς ἓν συνελθόντες ὁμοῦτε, τοὺς τρεῖς ὑμᾶς συμπαραλαβόντες
Κοινὴν ἔχομεν αἴνεσιν, τὴν ὑμῶν ἡδίστην ἕνωσιν.

Οὐ δίστομον μάχαιραν ἡ χάρις, ἀλλὰ τρίστομον
Κατὰ τῶν πολεμίων αὐτῆς προςβάλλεται,
Ὃν οὐρανοχάλκευτον ξίφος τρισὶν ἀκμαῖς κατεστωμένον,
Ἀεὶ προμαχόμενον τριλαμποῦς μιᾶς θεότητος.

Ὑμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ἦν, ἔνδοξοι,
Καὶ τὴν σάρκα φορούντων εἰς ἔτι ἄσπιλον,
Οὓς εἰλικρινῶς νῦν οἰκοῦντες, τοὺς ἐπὶ γῆς ἡμᾶς στρεφομένους
Τὰ ἄνω πρεςβεύετε καὶ φρονεῖν καὶ πραγματεύεσθαι.

Θεοτόκιον.

[Στενοῖ με τὸ πλάτος σου, τῶν μεγαλείων δέσποινα,
Καταπνιγὸν τὸν λόγον ὑπὸ πυκνότητος,
Καί μοι παραδόξως συμβαίνει τὸ ἀπορεῖν ἐκ τῆς εὐπορίας·
Διὸ τὸν τοσοῦτόν σε μεγαλύναντα, δοξάζομεν.]

Legitur in Officio ad Matutinum in Act. Sanct. Jun. Tom. II. p. XLIV seqq.

R.

Joannes Geometra.

LXVI.

Εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Χαῖρε κόρη, μέγα θαῦμα, μέγ' ἀνθρώποισι ὄνειαρ,
Χαῖρε χαρᾶς ἀρχὴ, χαῖρε τέλος κατάρας·
Χαῖρε κόρη, μέγ' ἄεισμα καὶ οὐρανίοισι νόεσσι,
Πολλὸν ὑπερπροθέον καὶ νόον οἷα λόγον.
Χαῖρε θέαμα κόρη φοβερὸν, φλογερὸν, πανάϋλον
Ἡδύ τε καὶ φοβερὸν, οὐδὲ θεατὸν ὅλον.
Χαῖρε κόρη μυριόμμασιν ἀστράσιν οἷα σελήνη
Μεστὰ φαινομένη φωτὶ περισσοτέρῳ.
Χαῖρε κόρη κρύπτουσα φάος Σεραφὶμ, ἅ τε φέγγος
Ἥλιος ἀστρῴων εὔδιος ἀρτιτρέχων.
Χαῖρε κόρη φύσεως αὔχημα, ἄγαλμα πλάστου,
Δεξάμενον τέχνην πᾶσαν ἀριστοτέχνου,
Χαῖρε καὶ ἐκ πισύρων παγὲν ἐκ γενετῆς ἁγνοφύτου
Ἀρχεγόνων ἀρετῶν ἐμπνόον αὐτόκαλον.
Χαῖρ' ἀποταξαμένη καὶ ἡμετέροισι τετραχὺν
Καὶ πολίτην θεῖσα τῶν ἀρετῶν χθονίην.
Χαῖρε δέμας παγὲν ὑψόθεν αἰγλήεντος ὀλύμπου,
Ἡμερίης κακίης οὐδὲν ἀφελκομένη.
Χαῖρε δέμας κραθὲν ἄχρι ἀκήρατον ἀμφοτέρωθεν
Κάλλεος αἰθερίου, κάλλεος ἐκ χθονίου,
Χαῖρε δέμας δίφρος ἔμπυρος, ἥλιον ἄλλον
Κοίρανον ἠελίου κρύψαν ἀειγενέα.

Χαῖρε χάρις, μῆτερ σοφίης, φαέος, λόγου, ἀλκῆς,
Σοῦ πατρὸς μήτηρ, σοῦ θ' υἱέος θυγάτηρ.
Χαῖρε τρύφημα Θεοῦ νέον ὑψιμέδοντος ὄχημα,
Ἐς δύσιν εὖτ' ἔδραμεν ἥλιος ἡμετέρην.
Χαῖρε κεχαρμένου λόγου ἔγκυος αὐτογενέθλου,
Αὐτοτόκου φαέος, ἀρχεγόνου φύσιος.
Χαῖρε παχυναμένη Θεὸν, ἐς Θεὸν, ἔμπαλι θνητὸν,
Χαῖρε καθηραμένη ἀργαλέου πάχεος.
Χαῖρ' ἀπομορξαμένη κακίης μελεδήματα πάντα
Σπόγγος ἅτε δροσερὴ ἡμετέρης φύσιος.
Χαῖρ' ἀποτρεψαμένη καὶ ἐς βυθὸν ὤσασα πνεῦμα
Δαιμονίης φύτλης ἄγριον ἀνδραφόνον.
Χαῖρ' ἀποδεξαμένη καὶ δείξασα μούνη
Οὐρανίους φύσιος ἀμφιπόλους χθονίης.
Χαῖρε πόλος χθονὶ, πότμῳ ζωὴν, ἀγγελιήταις
Μίξασα τοὺς χθονίους, οὐρανίους χθονίοις.
Χαίροις παμμεδέουσα, ῥυσίπτολι ῥυσιγένεθλα
Ἀνδρομέης γενεῆς, φαινομένης κτίσεως.
Χαῖρε θρόνων καθύπερθε θρόνος, φλογεροῖσιν ἐπ' ὤμοις
Οὐχὶ Θεὸν φορέων, ἐν δὲ δίναις μυχίοις.
Χαῖρε ψυχῆς κάλλος ἐπάξιον ὑψιμέδοντος.
Παρθένε χαῖρε κόρη τερψαμένη τριάδα.
Χαῖρε βροτωσαμένη Θεὸν ὡς βροτὸν ἔμπαλι δ' αὖτε
Χαῖρε θεωσαμένη αἵματος ἐξ ἰδίου.
Χαίροις παμβασίλεια καὶ ἀμφοτέρων διὰ κόσμων
Σοὶ θρόνος ἐστὶ πόλις, σὺ θρόνος αὐτοτόπου.
Χαῖρε καὶ εὐπερίγραπτον ἀνάκτορον, οὐ περιγράπτου
Μήτηρ παντογόνου, θρέπτρια παντοτρόφου.
Χαῖρε δόμος πολύολβος, ἀκηρασίων παναμώμων
Πνευματικῶν χαρίτων πλουτοφόρου τριάδος.
Χαῖρε καὶ ὀλβιόδωρε, μεγακλεὲς, ὀλβιόφρουρε,
Δεσποτικῶν θαλάμων αὐτοθέλητε φύλαξ.
Χαῖρε καὶ ὀλβιόκοσμε, πανεμφαές, ἡλιόμορφε,
Τριαδικῆς δόξης αὐτοκίνητε πύλη.
Χαῖρε μοί, ὦ βασίλεια πανίλαος, εὔχαρις, αἶνον,
Ἐξ ἀλιτρῶν στομάτων δέχνυσο ἡμετέρων.

Leguntur Joannis Geometrae hymni IV. in Dei genitricem in libro saepius laudato: Poetae Graeci Veteres. Colon. 1614. Tom. II. p. 746 seqq. Hymnorum istorum eodem modo compositorum, tertium (l. c. p. 748) adscribere sufficiat.

S.

Hymni ΑΔΕΣΠΟΤΟΙ.

LXVIII.

Στιχηρὰ ἐξωδιαστικά.

Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν,
Ἀδελφοὶ, τῷ θανόντι, εὐχαριστοῦντες Θεῷ.
Οὗτος μὲν ἐξέλιπε τῆς συγγενείας αὐτοῦ,
Καὶ πρὸς τάφον ἐπείγεται, οὐκ ἔτι φροντίζων
Τὰ τῆς ματαιότητος καὶ πολυμόχθου σαρκός.
Ποῦ νῦν συγγενεῖς τε καὶ φίλοι; ἄρτι χωριζόμεθα·
Ὅνπερ ἀναπαῦσαι κύριος εὐξώμεθα.

Ποῖος χωρισμὸς, ὦ ἀδελφοὶ, ποῖος κοπετὸς,
Ποῖος θρῆνος ἐν τῇ παρούσῃ ῥοπῇ; δεῦτε οὖν,
Ἀσπάσασθε τὸν πρὸ μικροῦ μεθ' ἡμῶν.
Παραδίδοται τάφῳ, καλύπτεται λίθῳ,
Σκότει κατοικίζεται, νεκροῖς συνθάπτεται.
Πάντες συγγενεῖς τε καὶ φίλοι ἄρτι χωριζόμεθα·
Ὅνπερ ἀναπαῦσαι κύριος εὐξώμεθα.

Ἄρτι ἡ τοῦ βίου πονηρὰ λύεται πανήγυρις
Πᾶσα τῆς ματαιότητος, πνεῦμα γὰρ ἐξέλιπεν
Ἀπὸ σκηνώματος, ὁ πηλὸς μεμελάνωται,
Τὸ σκεῦος ἐῤῥάγη· ἄφωνον,
Ἀναίσθητον, νεκρὸν, ἀκίνητον,
Ὅπερ παραπέμποντες τάφῳ· Κύριον εὐξώμεθα
Δοῦναι εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Οἷα ἡ ζωὴ ἡμῶν ἐστίν; ἄνθος καὶ ἀτμίς τε
Καὶ δρόσος ἑωθινὴ ἀληθῶς. Δεῦτε οὖν,
Κατίδωμεν ἐπὶ τοὺς τάφους τρανῶς.
Ποῦ τὸ κάλλος τοῦ σώματος καὶ ποῦ ἡ νεότης;
Ποῦ εἰσὶ τὰ ὄμματα καὶ ἡ μορφὴ τῆς σαρκός;
Πάντα ἐξηράνθη ὡς χόρτος, πάντα ἠφανίσθησαν.
Δεῦτε τῷ Χριστῷ προςπέσωμεν ἐν δάκρυσι.

Βλέποντες προκείμενον νεκρὸν, λόγον
Ἀναλάβωμεν πάντες τῆς τελευταίας ῥοπῆς.
Οὗτος γὰρ παράγεται, ὥσπερ καπνὸς, ἀπο γῆς,

Ὡσεὶ ἄνθος ἐξήνθησεν, ὡς χόρτος ἐτμήθη,
Ῥάκει σπαργανούμενος, γῇ καλυπτόμενος,
Ὅνπερ ἀφανῆτε λιπόντες, τῷ Χριστῷ εὐξώμεθα·
Δοῦναι εἰς αἰῶνας τούτῳ τὴν ἀνάπαυσιν.

Σῶζε τοὺς ἐλπίζοντας εἰς σὲ, μῆτερ
Τοῦ ἀδύτου ἡλίου θεογεννήτρια.
Αἴτησαι πρεςβείαις σοῦ τὸν ὑπεράγαθον,
Ἀναπαῦσαι, δεόμεθα, τὸν νῦν μεταστάντα,
Ἔνθα ἀναπαύονται αἱ τῶν δικαίων ψυχαί.
Θείων ἀγαθῶν κληρονόμον δεῖξον ἐν αὐλαῖς
Τῶν δικαίων, εἰς μνημόσυνον, πανάμωμε, αἰώνιον.

Conf. Goar Euchol. p. 431, ubi hoc carmen in Officio Exequiarum legitur.

LXIX.

Ἦχος.

Ἐξεγερθέντες τοῦ ὕπνου
Προςπίπτομέν σοι, ἀγαθὲ,
Καὶ τῶν ἀγγέλων τὸν ὕμνον
Βοῶμέν σοι, δυνατέ.
Ἅγιος, ἅγιος εἶ ὁ Θεὸς
Διὰ τὸ ἔλεός σου ἐλέησον ἡμᾶς.

Τῆς κλίνης καὶ τοῦ ὕπνου
Ἐξέγειράς με, κύριε,
Τὸν νοῦν μου φώτισον καὶ τὴν καρδίαν,
Καὶ τὰ χείλη μου ἄνοιξον,
Εἰς τὸ ὑμνεῖν σε, ἁγία τριάς.
Ἅγιος, ἅγιος, ἅγιος εἶ.

Ἀθρόον ὁ κριτὴς ἐπελεύσεται,
Καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται,
Ἀλλὰ φόβῳ κράξωμεν ἐν τῷ μέσῳ τῆς νυκτός·
Ἅγιος, ἅγιος, ἅγιος εἶ.

Chr. Pelargus Enchiridion graeco-latinum hymnorum etc. Francof. 1594.

LXX.

Ὕμνος ἑσπερινός.

Τὴν ἡμέραν διελθὼν
Εὐχαριστῶ σοι, κύριε,
Τὴν ἑσπέραν αἰτοῦμαι
Σὺν τῇ νυκτὶ ἀναμάρτητον
Παράσχου μοι, σωτὴρ, καὶ σῶσόν με.

Τὴν ἡμέραν παρελθὼν
Δοξολογῶ σε, δέσποτα,
Τὴν ἑσπέραν αἰτοῦμαι
Σὺν τῇ νυκτὶ ἀσκανδάλιστον
Παράσχου μοι, σωτὴρ, καὶ σῶσόν με.

Τὴν ἡμέραν διαβὰς,
Ὑμνολογῶ σε, ἅγιε,
Τὴν ἑσπέραν αἰτοῦμαι,
Σὺν τῇ νυκτὶ ἀνεπίβουλον
Παράσχου μοι, σωτὴρ, καὶ σῶσόν με.

Φώτισον τοὺς ὀφθαλμούς μου
Χριστὲ ὁ Θεὸς, μήποτε ὑπνώσω
Εἰς θάνατον, μήποτε εἴπῃ
Ὁ ἐχθρός μου·
Ἴσχυσα πρὸς αὐτόν.

Ἀντιλήπτωρ τῆς ψυχῆς μου
Γένου ὁ Θεὸς, ὅτι μέσον
Διαβαίνω παγίδων πολλῶν,
Ῥῦσαί με ἐξ αὐτῶν καὶ σῶσόν με,
Ἀγαθὲ ὡς φιλάνθρωπος.

Pelarg.

LXXI.

Περὶ μετανοίας πρὸς Ἰησοῦν γλυκύσματα.

Ἰησοῦ γλυκύτατε, Ἰησοῦ μακρόθυμε,
Τὰ τῆς ψυχῆς μου θεράπευσον τραύματα,
Ἰησοῦ, καὶ γλύκανον τὴν καρδίαν μου,
Πολυέλεε, δέομαι, Ἰησοῦ, σωτήρ μου,
Ἵνα μεγαλύνω σε σωζόμενος.

Εἰςάκουσον, φιλάνθρωπε, Ἰησοῦ μου,
Τοῦ δούλου σου βοῶντος ἐν κατανύξει.
Καὶ ῥῦσαι, Ἰησοῦ, με τῆς καταδίκης
Καὶ τῆς κολάσεως, μόνε, μακρόθυμε,
Ἰησοῦ γλυκύτατε, μόνε, πολυέλεε.

Ὑπόδεξαι τὸν δοῦλόν σου, Ἰησοῦ μου,
Προςπίπτοντα σὺν δάκρυσιν, Ἰησοῦ μου,
Καὶ σῶσον, Ἰησοῦ, με μετανοοῦντα,
Καὶ τῆς γεέννης με, δέσποτα, λύτρωσαι, Ἰησοῦ.

Θεράπευσον, Ἰησοῦ μου, ψυχῆς μου
Τὰ τραύματα, Ἰησοῦ μου, δέομαι,
Καὶ τῆς χειρός με ἐξάρπασον, Ἰησοῦ μου
Εὔσπλαγχνε τοῦ ψυχοφθόνου βέλιαρ καὶ διάσωσον.

Ἡμάρτηκα, Ἰησοῦ μου γλυκύτατε,
Εὔσπλαγχνε, Ἰησοῦ μου, σῶσόν με
Τὸν προςφυγόντα τῇ σκέπῃ σου, Ἰησοῦ μακρόθυμε,
Καὶ βασιλείας τῆς σῆς με ἀξίωσον.

Σὺ φωτισμὸς, Ἰησοῦ μου, νόος μου,
Σὺ σωτηρία τῆς ἀπεγνωσμένης ψυχῆς μου,
Σωτὴρ σὺ, Ἰησοῦ μου, τῆς κολάσεως
Ῥῦσαι καὶ γέννης ἐμὲ κραυγάζοντα,
Σῶσον, Ἰησοῦ, με, Χριστέ μου τὸν ἄθλιον.

Pelarg.

LXXII.

Ἐγερτικὸν ψυχῆς.

Ψυχή μου, ψυχή μου,
Ἀνάστα, τί καθεύδεις;
Τὸ τέλος ἐγγίζει,
Καὶ μέλλεις θορυβεῖσθαι;

Ἀνάνηψον οὖν, ἵνα
Φείσηταί σου, Χριστὸς
Ὁ Θεὸς, ὁ πανταχοῦ παρὼν
Καὶ τὰ πάντα πληρῶν.

Pelarg.

LXXIII.

Εἰς γενέθλια Χριστοῦ.

Ἑτοιμάζου, Βηθλεέμ,
Ἤνοικται πᾶσιν ἡ Ἐδέμ.
Εὐτρεπίζου, Εὐφραθᾶ,
Ὅτι τὸ ξύλον τῆς ζωῆς
Ἐν τῷ σπηλαίῳ ἐξήνθησεν
Ἐκ τῆς παρθένου. Παράδεισος
Καὶ γὰρ ἡ ἐκείνης γαστὴρ
Ἐδείχθη νοητῶς,
Ἐν ᾧ τὸ θεῖον φυτὸν,
Ἐξ οὗ φαγόντες ζήσομεν,
Οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα.
Χριστὸς γεννᾶται,
Τὴν πρὶν πεσοῦσαν ἀναστήσας
Εἰκόνα καὶ τρόπων μέτοχος.

Pelarg.

LXXIV.

Πρὸς Χριστὸν γεννηθέντα.

Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεὸς ἡμῶν,
Ἀνέτειλε τῷ κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως.
Ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες
Ὑπὸ ἀστέρος ἐδιδάσκοντό σε προσκυνεῖν,
Τὸν ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν
Ἐξ ὕψους ἀνατολὴν, κύριε, δόξα σοι.

Τὴν ἀπαρχὴν τῶν ἐθνῶν ὁ οὐρανός σοι
Προσεκόμισε τῷ κειμένῳ νηπίῳ ἐν φάτνῃ
Δι' ἀστέρος τοὺς μάγους καλέσας,
Οὓς καὶ κατέπληττεν,
Οὐ σκῆπτρον καὶ θρόνοι, ἀλλ' ἐσχάτη πτωχεία.
Τί γὰρ εὐτελέστερον σπηλαίου;
Τί δὲ ταπεινότερον σπαργάνων;
Ἐν οἷς διέλαμψεν ὁ τῆς θεότητος πλοῦτός σου.
Κύριε, δόξα σοι.

Pelarg.

LXXV.

Γενεθλιακόν.

Ἡ παρθένος σήμερον
Τὸν ὑπερούσιον τίκτει,
Καὶ ἡ γῆ τὸ σπήλαιον
Τῷ ἀπροσίτῳ προσάγει.
Ἄγγελοι μετὰ ποιμένων
Δοξολογοῦσι.
Μάγοι δὲ μετὰ ἀστέρος
Ὁδοιποροῦσι.
Δι' ἡμᾶς γὰρ ἐγεννήθη
Παιδίον νέον ὁ πρὸ αἰώνων Θεός.

Pelarg.

LXXVI.

Πρὸς Ἰησοῦν.

Ὁ πρὸ ἑωσφόρου ἐκ πατρὸς ἀμήτωρ γεννηθεὶς,
Ἐπὶ τῆς γῆς ἀπάτωρ ἐσαρκώθης σήμερον, Ἰησοῦ.
Ὅθεν ἀστὴρ εὐαγγελίζεται μάγοις.
Ἄγγελοι δὲ μετὰ ποιμένων ὑμνοῦσι
Τὸν ἄσπορον τόκον τῆς κεχαριτωμένης.

Pelarg.

LXXVII.

Ὕμνος.

Ὁ ἀπερίγραπτος λόγος τοῦ πατρὸς
Ἐκ τῆς παρθένου θεοτόκου περιγράφει
Σαρκούμενος,
Καὶ τὴν ῥυπωθεῖσαν εἰκόνα
Εἰς τὸ ἀρχαῖον ἀναμορφώσας,
Τῷ θείῳ κάλλει συγκατέμιξεν.
Ἀλλ' ὁμολογοῦντες τὴν σωτηρίαν
Ἔργῳ καὶ λόγῳ ταύτην ἀνιστοροῦμεν.

Pelarg.

LXXVIII.

Δοξολογία.

Τὴν ἄχραντον εἰκόνα σου
Προσκυνοῦμεν, ἀγαθέ, αἰτούμενοι·
Συγχώρησον τῶν πταισμάτων ἡμῶν,
Χριστὲ ὁ Θεός.
Βουλήσει γὰρ ηὐδόκησας,
Ἀνελθεῖν ἐν τῇ σαρκί,
Ἵνα ῥύσῃς, οὓς ἔπλασας,
Ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ,
Ὅθεν εὐχαρίστως βοῶμέν σοι,
Χαρᾶς ἐπλήρωσας τὰ πάντα
Ὁ σωτὴρ ἡμῶν, παραγενόμενος
Εἰς τὸ σῶσαι τὸν κόσμον.

Pelarg.

LXXIX.

Ὕμνος.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον
Καὶ ἀγγέλοις ἄγνωστον μυστήριον
Διὰ παρθένου τοῖς ἐπὶ γῆς πεφανέρωται.
Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει
Σαρκούμενος καὶ σταυρὸν ἑκουσίως
Ὑπὲρ ἡμῶν καταδεξάμενος,
Δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον
Ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Pelarg.

LXXX.

Ὕμνος.

Ὁ συναΐδιος λόγος τοῦ προανάρχου πατρός,
Μὴ χωρισθεὶς τῶν ἄνω, νῦν ἐπέστη τοῖς κάτω.
Δι' ἄκραν εὐσπλαγχνίαν οἶκτον λαβὼν τοῦ καθ' ἡμᾶς ὀλισθήματος
Καὶ τοῦ Ἀδὰμ τὴν πτωχείαν ἀναλαβὼν ἐμορφώθη τὸ ἀλλότριον.

Ὁ ἐκ πατρὸς ἀϊδίως, καὶ ἐκ μητρὸς χρονικῶς
Φανερωθεὶς τῷ κόσμῳ ὑπερούσιος λόγος,
Μορφὴν δούλου λαμβάνει καὶ γίνεται σὰρξ,
Μὴ ἐκστὰς τῆς θεότητος καὶ τὸν Ἀδὰμ ἀναπλάττει
Ἐν τῇ γαστρὶ τῆς ἀσπόρως συλλαβούσης αὐτόν.

Ὅλος ἦν ἐν τοῖς κάτω καὶ τῶν ἄνω
Οὐδ' ὅλος ἀπῆν ὁ ἀπερίγραπτος λόγος.
Συγκατάβασις γὰρ θεϊκὴ,
Οὐ μετάβασις δὲ τοπικὴ γέγονε
Καὶ τόκος ἐκ παρθένου θεολήπτου.

Πᾶσα φύσις ἀγγέλων κατεπλάγη
Τὸ μέγα τῆς ἐνανθρωπήσεως ἔργον.
Τὸν ἀπρόσιτον γὰρ ὡς Θεὸν ἐθεώρει
Πᾶσι πρόσιτον ἄνθρωπον, ἡμῖν μὲν συνδιάγοντα,
Ἀκούοντα δὲ παρὰ πάντων οὕτως·
Δόξα σοὶ κύριε.

Pelarg.

LXXXI.

Εἰς βαπτισμὸν Χριστοῦ.

Ὁ πάντων Χριστὸς εὔσπλαγχνος,
Ἀφαιρούμενος πταισμάτων πληθὺν
Δι' ἔλεος ἀμέτρητον,
Ἰορδάνου τοῖς νάμασι βαπτισθῆναι
Ἔρχῃ ὡς ἄνθρωπος,
Κατὰ στολὴν ἐπενδύων με τῆς δόξης
Τὸν πρῴην γυμνωθέντα δεινῶς.

Pelarg.

LXXXII.

Ἐν αὐτῷ.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Χριστὲ,
Ἡ τῆς τριάδος ἐφανερώθη προσκύνησις.
Τοῦ γὰρ γεννήτορος ἡ φωνὴ προσεμαρτύρει
Σοὶ ἀγάπητόν σε υἱὸν ὀνομάζουσα,
Καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς

Ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές.
Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεὸς
Καὶ τὸν κόσμον φωτίσας, δόξα σοι.

Pelarg.

LXXXIII.

Ἐν ἐπιφανείᾳ.

Ὅτε τῇ ἐπιφανείᾳ σου ἐφωτίσας τὰ σύμπαντα,
Τότε ἡ ἁλμυρὰ τῆς ἀπιστίας θάλασσα ἔφυγε,
Καὶ Ἰορδάνης κάτω ῥέων ἐστράφη.
Πρὸς οὐρανὸν ἀνυψῶν ἡμᾶς.
Ἀλλὰ τῷ ὕψει τῶν θείων ἐντολῶν σου
Συντήρησον, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Pelarg.

LXXXIV.

Ἐν αὐτῇ.

Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ,
Καὶ τὸ φῶς σου, κύριε, ἐσημειώθη ἐφ' ἡμᾶς,
Ἐν ἐπιγνώσει ὑμνοῦντάς σε.
Ἦλθες, ἐφάνης τὸ φῶς τὸ ἀπρόσιτον.

Pelarg.

LXXXV.

Πρὸς Χριστόν.

Τῆς σοφίας ὁδηγὲ,
Φρονήσεως χορηγὲ,
Τῶν ἀφρόνων παιδευτὰ
Καὶ τῶν πτωχῶν ὑπερασπιστα,
Στήριξον, συνέτισον τὴν καρδίαν μου,
Δέσποτα, σὺ δίδου μοι λόγον, ὁ τοῦ πατρος λόγος.
Ἰδοὺ γὰρ, τὰ χείλη μου οὐ κωλύσω
Ἐν τῷ κράζειν σοι· ἐλεήμον, ἐλέησόν με
Τὸν παραπεσόντα.

Pelarg.

LXXXVI.

Τροπάρια.

Σῶσον, κύριε τὸν λαόν σου,
Καὶ εὐλόγησον τὴν κληρονομίαν σου,
Νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων
Δωρούμενος, καὶ τὸ σὸν φυλάττων,
Διὰ τοῦ σταυροῦ σου πολίτευμα.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως,
Τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ
Τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός,
Εὔφρανον ἐν τῇ δυνάμει σου τοὺς πιστοὺς
Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς
Κατὰ τῶν πολεμίων τὴν συμμαχίαν ἔχουσι την σήν,
Ὅπλον εἰρήνης ἀήττητον τρόπαιον.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς
Κατὰ τὸ μέγα ἔλεος,
Δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον,
Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

Pelarg.

LXXXVII.

Πρὸς Χριστὸν σταυρωθέντα.

Ὁ ἐν τῇ ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ
Τῷ σταυρῷ προσηλώσας, τὴν ἐν τῷ παραδείσῳ
Τολμηθεῖσαν τῷ Ἀδὰμ ἁμαρτίαν,
Καὶ τῶν πταισμάτων ἡμῶν τὸ χειρόγραφον
Διάῤῥηξον Χριστὲ ὁ Θεὸς καὶ σῶσον ἡμᾶς.

Pelarg.

LXXXVIII.

Πρὸς αὐτόν.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς,
Χριστὲ ὁ Θεός, ἐπὶ σταυροῦ τὰς ἀχράντους χεῖρας ἐξέτεινας,

Ἐπισυνάγων πάντα τὰ ἔθνη, κράζοντα·
Κύριε, δόξα σοι.

Pelarg.

LXXXIX.

Εἰς ἀνάστασιν.

Σήμερον σωτηρία τῷ κόσμῳ,
Ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου
Καὶ ἀρχηγῷ τῆς ζωῆς, Χριστῷ τῷ Θεῷ ἡμῶν.
Καθελὼν γὰρ τὸν θάνατον,
Τὸ νῖκος ἔδωκεν ἡμῖν,
Καὶ τὸ μέγα ἔλεος.

Pelarg.

XC.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν,
Θανάτῳ θάνατον πατήσας,
Καὶ τοῖς ἐν τοῖς μνήμασι
Ζωὴν χαρισάμενος.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι
Προςκυνήσωμεν ἅγιον κύριον,
Ἰησοῦν τὸν μόνον ἀναμάρτητον.
Τὸν σταυρόν σου, Χριστέ, προςκυνοῦμεν,
Καὶ τὴν ἁγίαν σου ἀνάστασιν
Ὑμνοῦμεν καὶ δοξάζομεν.

Ἐν τάφῳ σωματικῶς,
Ἐν ᾅδου δὲ μετὰ ψυχῆς,
Ὡς Θεὸς ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ,
Καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστέ,
Μετὰ πατρὸς καὶ πνεύματος,
Πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Ὡς ζωηφόρος, ὡς παραδείσου ὡραιότερος ὄντως,
Καὶ παστάδος πάσης βασιλικῆς ἀναδέδεικται
Λαμπρότερος, Χριστέ, ὁ τάφος σου,
Ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Ὁ ἡμετέραν μορφὴν ἀναλαβὼν
Καὶ ὑπομείνας σταυρὸν σωματικῶς,
Σῶσόν με τῇ ἀναστήσει σου,
Χριστὲ ὁ Θεὸς ὡς φιλάνθρωπος.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος
Ταφὴν κατεδέξω τριήμερον,
Ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν,
Ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν,
Κύριε, δόξα σοι.

Pelarg.

XCI.

Ἐν ἀναλήψει.

Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν,
Χαροποιήσας τοὺς μαθητάς σου
Τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου πνεύματος,
Βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας,
Ὅτι σὺ ὁ υἱὸς τοῦ Θεοῦ
Ὁ λυτρωτὴς τοῦ κόσμου.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν
Καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανοῖς,
Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεός,
